2 [ ]οριστος κατὰ διαθήκην
3 [ ]σ̣ων ἐν τῷ κε (ἔτει)
4 [ ].ρ̣..η̣ι̣ Ἰσχυρίωνος
5 [ ]..ο̣υ̣ Ἁρυώτη̣
6 unleserliche Spuren
7 desgl.
8 [ ]........υ̣λιος
9 [Νε]χθοσίρει
10 [ ] καὶ Αἰλούρῳ τῷ καὶ
11 [ ]ο̣ριος καὶ Ὀννόφρει
12 [Ἡ]ρακλεῖ τῷ καὶ Σεμθεῖ
13 [ ]σιος τοῖς δέκα τρισὶ
14 [ ]ντος πρώτου
15 [ ] δραχμῶν ἐπιγραφέντων
16 [ ] ἐμ πίστει
17 [ ]εν αὐτῷ
18 [ ]ηκότων
19 [γ]ραφὴν χρόνου
20 [ἐπεὶ οὖν σ]υμβέβηκεν
21 [Πτολεμα]ῖον μεταλλαχέναι (so!)

Spalte II.

|[22] τ̣ὸ̣ν̣ βίον καὶ τοῦ τοῦ Πτολεμαίου υἱο[ῦ Ἡ]ρακλ[ε]ίδου τ[ο]ῦ καὶ παρειλη|[23]-φότος παρὰ τοῦ πατρὸς τὴν ἐπίφορον συγγραφὴν βουλομένου |[24] ἐξέχεσθαι τῆς τῶν πατρικῶν ὀφειλημάτων ἀπαιτή[σ]εως |[25] καὶ παραποδιζομένου δ̣ι̣ὰ τὴν προκειμένην αἰτίαν, |[26] δέομαι πέμψαι τὴν ἔντευξι̣ν̣ ἐπὶ τ[ο]ὺς ἐπὶ τῶν τόπων |[27] χ̣[ρ]ηματιστάς, οἷ̣ς εἰ[σ]ά̣γε̣ι Ἀμμᾶς, ἵν᾽, ἐπεὶ βούλομαι τὰ τῆς πίστεως |[28] ἀποκαταστῆσαι ἐπ̣ὶ̣ [τ]ῆς διαλογῆς ἁπλοῦ ὄντος τοῦ ἀξι[ώ]ματο[ς], |[29] γινώσκοντες τὸ[ν] δ̣α̣ν̣ε̣ι̣σ̣μ̣ὸ̣ν̣ ὄν̣τ̣α̣ τ̣ο̣ῦ̣ τοῦ Ἡρακλείδου πατρὸς |[30] Πτολεμαίου, ἅμα δ̣ὲ̣ [καὶ παρ]α̣κεχωρῆσθαι αὐτῷ τὴν πρᾶξιν, |[31] συνκρίνωσι [συντάξαι το]ῖς τῶν ξενικῶν πράκτορσι, ἵν᾽, [ἐὰν] |[32] ὁ Ἡρακλείδης ἢ καὶ οἱ παρ᾽ αὐτοῦ ποιῶνται τὴν τοῦ δανείου |[33] πρᾶξιν καὶ τῶν τόκων παρὰ τῶν δεδανεισμένων ἢ οὗ ἐὰν |[34] αἱρῶνται καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς, χρηματίζωσι αὐτοῖς |[35] κατὰ μηδὲν διστάσαντες, ἐὰν δὲ καὶ περὶ τούτων βούλωνται |[36] ἐγκαλεῖν, ὁμοίω̣ς̣ σ̣υ̣γχρηματίζωσιν αὐτῷ, τούτου δὲ |[37] γενομένου ἔσομαι τετευχὼς τῆς παρὰ σοῦ ἀντιλήψεω̣ς̣. Εὐτύχει.

9. [Νε]χθοσίρει erg. B.

6664. Inschrift. **Tempelweihung.** Dorf Sakha (Ξόϊς). 2. Jahrh. v. Chr. *Breccia,* Bulletin de la Société archéol. d'Alexandrie 19 (1923) S. 120, mit Abbild. Alexandrien, griech.-röm. Museum.

Ὑ̣π̣ὲρ βασιλέως Πτολεμαίο[υ] |[2] καὶ βασιλίσσης Κλεοπάτρας τῆς |[3] ἀδελφῆς, θ[ε]ῶν Φιλομητόρων, καὶ |[4] τῶν [τέ]κνων αὐτῶν Διὶ Βασιλεῖ |[5] καὶ [τοῖς] ἄλλοις πατρίοις θεοῖς |[6] Κ̣α̣φισό̣δωρος Καφισοδώρου |[7] Βοιώτιος ὁ ἀρχισωματοφύλαξ καὶ |[8] στρατηγὸς τοῦ Ξοΐτου καὶ ἱερεὺς τοῦ |[9] πολιτεύματος καὶ οἱ τούτου υἱοὶ |[10]

Μητροφάνης κ[αὶ Πτ]ο[λ]εμαῖος οἱ διάδοχοι |[11] καὶ εἰσαγγελεῖς καὶ οἱ ἐπισυνηγμένοι |[12] ἐν Ξόει Βοιωτοὶ [καὶ οἱ συμ]πολιτευ|[13]όμενοι, ὧν τὰ ὀνόμ[ατα] ἐν τῆι στήληι |[14] ἀναγέγραπται, |[15] τὸ τέμενος καὶ τὰ συγκύρ[οντα]. Die genannte στήλη ist nicht mehr vorhanden.

6665. Inschrift. **Standbildsockel (Ehrung).** Ptolem. Zeit (255/4 v. Chr.?). Aus Tell Timai. *Breccia,* Bull. de la Soc. arch. d'Alexandrie 19 (1923) S. 123 Nr. 1.

Λεωνίδην Φιλώτου Μακεδόνα |[2] τῶν πρώτων φίλων γυμνασιαρ|[3]χοῦντα τὸ λ ἔτος Λεωνίδης τῶν |[4] πρώτων φίλων τὸν ἑαυτοῦ |[5] πατέρα ἀρετῆς ἕνεκεν.

6666. Inschrift auf der Rückseite des vorgenannten Sockels. Röm. Zeit. *Breccia,* a. a. O. S. 124 Nr. 2.

Ἡ πόλις ἐπὶ Λέον|[2]τος ἄρχοντος.

6667. Inschrift. **Standbildsockel.** Ptolem. Zeit. *Breccia,* a. a. O. S. 125 Nr. 3, mit Abbild.

Κρα[.................... ε]ύς |[2] Διονυσ[.................]ικειος, |[3] Ποσειδώνιος Θεο[δώρου?] Θεσμοφόριος |[4] καὶ Σαραπίων Δωρίωνος ὁ εἰσαγωγεύς.

1. -ε]ύς, Demotikon. *de Ricci,* Bull. Soc. Archéol. d'Alex. Nr. 20 (1924) S. 281.
2. Schluß: [Πολυδε]ύκειος, ebd.

6668. Inschrift. **Weihung.** 209 v. Chr. Aus Kôm Saggari. *Breccia,* a. a. O. S. 126 Nr. 4. Privatbesitz von *Casulis.*

Βασιλεῖ Πτολεμαίωι |[2] καὶ βασιλίσσηι Ἀρσινόηι, |[3] θεοῖς Φιλοπάτορσι, |[4] καὶ τῶι υἱῶι Πτολεμαίω[ι] |[5] ἀνέθηκεν Ποσιδώνιο[ς] |[6] καὶ οἱ λοιποὶ θιασῖται |[7] τὸ ἑστιατόριον.

6669. Inschrift. **Weihung.** Ptolem. Zeit. *Breccia,* a. a. O. S. 127 Nr. 5. Aus Abukir.

Βασίλισσαν Κλεοπάτραν, θεὰν Εὐε[ργέτιν,] |[2] Διονύσιος Τροεζηνί[ου].

2. Τροεζηνι[*Breccia* und *de Ricci,* Bull. Soc. Archéol. d'Alex. Nr. 20 (1924) S. 281.

6670. Inschrift auf Basaltplatte. **Weihung.** Röm. Zeit. Aus Alexandria (via Moharrem bey). *Breccia,* a. a. O. S. 128 Nr. 6, mit Abzeichnung. Vgl. *de Ricci,* ebd. Nr. 20 (1924) S. 281.

Ἀπόλλωνι θεῶι μεγί|[2]στωι τὸν θεὸν καὶ τὴν |[3] ζωθήκην καὶ τὰ ἐν αὐ|[4]τῆι πάντα. |[5] Δωρίων Ζωίλου |[6] Ἐπιφάνειος |[7] ὁ ἱερατεύσας |[8] Ἀλεξάνδρωι τὸ κε. |[9] (Ἔτους) ια, Φαρμοῦθι ις.

6671. Inschrift auf Kalksteinblock. **Weihung.** Röm. Zeit (Vespasian?). *Breccia,* a. a. O. S. 131 Nr. 7.

Οὐῆς Πασιανοῦ Ἀηθ[ ] |[2] θεῷ μεγάλῳ Ἀγαθῷ Δα[ίμονι] |[3] Οὐαλέριος Λόνγο[ς] καλο[ύμενος] |[4] ἱππεὺς ἀνέθηκεν ὑπὲρ εὐχαρι[στίας].

[Ọ]ύης πασιάνου und ἀγαθω δạ[ ] *Breccia,* obiger Text B. ᾿Αγαθῷ Δ. *de Ricci,* ebd. Nr. 20 (1924) S. 281.

6672. Inschrift. **Weihung.** Röm. Zeit. Aus Karanis. *Breccia,* a. a. O. S. 132 Nr. 8α.

Λούκιος Οὐ|²αλέριος Σερῆ|³νος στρατιώ|⁴της λεγιῶνος |⁵ β̄ Τραιανῆς ᾿Ισ|⁶χυρᾶς ἀνέθη|⁷κεν ὑπὲρ εὐσ[ε]|⁸βίας χάριν, |⁹ ἐπ' ἀγαθῷ. |¹⁰ (῎Ετους) ιϑ, Φαμενὼϑ ια̅.

6673. Inschrift. **Weihung.** Röm. Zeit. *Breccia,* a. a. O. S. 133 Nr. 8β.

Λούκιος Οὐαλέριος Σερῆνος στρατιώτης λεγ(ιῶνος) |² β̄ Τραιανῆς ᾿Ισχυρᾶς ρ̣͓ Αὐρηλίωι ᾿Απολλοδώρωι |³ ἐποίησεν τὸν δρόμον ἐκ τοῦ ἰδίου ἐπ' |⁴ ἀγαϑῶι.

2. *Breccia* löst das Sigel nicht auf. Lies: ἑκατονταρχίας Αὐρηλίου ᾿Απολλοδώρου (?), B. So, wie ich nachträglich sehe, jetzt auch *de Ricci,* ebd. S. 281/2.

6674. Inschrift auf Marmortafel. **Kaiserehrung.** Aus Kôm el-Wahal. Um 169—172 n. Chr. *Breccia,* a. a. O. S. 133 Nr. 9, mit Abzeichnung.

Αὐτοκράτορα Καίσαρα |² Μάρκον Αὐρήλιον ᾿Αντωνεῖνον |³ Σεβαστὸν τὸν σωτῆρα καὶ εὐερ|⁴γέτην τῆς ὅλης οἰκουμένης, |⁵ ἡ πόλις |⁶ διὰ ᾿Αρχίου τοῦ καὶ ᾿Αρείου ἐνάρχου ἐξηγητοῦ, |⁷ γενομένου γυμνασιάρχου, ἀποδεδειγμέ|⁸νου ἀγορανόμου, υἱοῦ ᾿Αμμωνίου ᾿Αρχίου |⁹ γενομένου βασιλικοῦ γραμματέως ᾿Αν|¹⁰ταιοπολείτου, τάξιν ἔχοντος ἐν τῷ Μου|¹¹σείῳ, ἄρξαντος τὰς αὐτὰς ἀρχὰς προπά[π]|¹²που ᾿Αμμωνίου νεοτέρου ᾿Ανδρομάχου, ἄρξαν|¹³τος τὰς αὐτὰς ἀρχὰς ϑείων προπάππων ᾿Αρείου |¹⁴ ᾿Αρχίου, ἄρξαντος τὰς αὐτὰς ἀρχὰς καὶ Σωτη|¹⁵ρίχου τοῦ καὶ ᾿Ισιδωρίωνος, ἀρχιερατεύσαντος |¹⁶ [ἀνεψι]οῦ πρὸς μητρὸς Σαραπίωνος Βησαρίωνος, |¹⁷ [γενομέ]νου ἐξηγητοῦ καὶ γυμνασιάρχου καὶ |¹⁸ [ἀνεψιαδο]ῦ προπάππων Κόσμου ᾿Αρείου, ἄρξαν|¹⁹[τος τὰς αὐτὰ]ς ἀρχὰς καὶ Βησαρίωνος γενομένου |²⁰ [Σαρ]ạπ̣ạ̣μ̣μ̣ω̣ν̣ọ[ς] (hier abgebrochen).

6675. Inschrift. **Weihung.** Aus Abukir. *Breccia,* a. a. O. S. 135 Nr. 10.

[ ] ᾿Αριστόνικος |² [ἱερατεύσαντ]ες τὸ κ (ἔτος) τοῦ |³ [ἀ]πὸ Κανώβου πρὸς |⁴ [τ]ὴν ζωθήκην καὶ |⁵ [τὰ ἐν αὐτῇ πάντα, (ἔτους)] ḳ, Παχὼν ια.

1/2. *de Ricci,* ebd. Nr. 20 (1924) S. 282 [῾Ο δεῖνα καὶ] ᾿Αριστόνικος |² [οἱ ἐφηβευκότ]ες.

6676—6695. Grabschriften. Nr. 6676—6689 aus Hadra. *Breccia,* Bull. Soc. archéol. d'Alexandrie 19 (1923) S. 135ff.

(6676). S. 135 Nr. 11. Παυσίστ[ρ]ạτος |² ῾Ρόδιος.

(6677). S. 135 Nr. 12. [ ]κύδης ῾Ιπποκράτ[ους].

(6678). S. 136 Nr. 13. Στρατονίκạ |² Ζώπυρος.

(6679). S. 136 Nr. 14. Κλευπάτρα Θρᾶσ|²[σα].

(6680). S. 137 Nr. 15. Φιλησώ, Σπάρτη̣ |² Κυρηνạ̣ῖạ̣ι̣.

(6681). S. 137 Nr. 16. Ξενόκλεια [. . .]τέρου ụδ̣[ ].

(6682). S. 137 Nr. 17. Μαῖα.
(6683). S. 138 Nr. 18. Ἀγήσανδρο[ς Μά]γνη[ς(?)].
(6684). S. 138 Nr. 19. Δαμοκρίτα Κα[ ].
(6685). S. 138 Nr. 20. Δημήτριος Μάγνης.
(6686). S. 139 Nr. 21 a. Εὐφράνω[ρ].
(6687). S. 139 Nr. 21 b. Πειθώ, |[2] χαῖρε.
(6688). S. 139 Nr. 22. Παλῶν, |[2] χαῖρε.
(6689). S. 139 Nr. 23. Λεόν|[2][τι]ος |[3] Ἀρκάς.
(6690). S. 139 Nr. 24. Aus Rodi. Τιμακράτηα.
(6691). S. 140 Nr. 25. Νίκαν|[2]δρε ἄω|[3]ρε, χαῖ|[4]ρε.
(6692). S. 140 Nr. 26. Ἀρτέμων |[2] χρηστέ, |[3] χαῖρε.
(6693). S. 140 Nr. 27. Μενέδη|[2]με χρηστέ, |[3] χαῖρε.
(6694). S. 140 Nr. 28. Μυρσῖ|[2]νε χρησ|[3]τέ, χαῖρε.
(6695). S. 141 Nr. 29. Aus Kôm Abu Ismail. Ὑλλαρίων |[2] χρηστ[έ], |[3] χαῖ[ρε].

6696. Papyrus. **Zensus.** Faijûm. 187/8 n. Chr. *Wessely,* Aegyptus IV (1923) S. 123. *Wessely,* Wiener Urania I (1908) S. 425, mit Abbild. Privatbesitz *Wessely,* Wien.

Ἀμμωνίῳ στρ(ατηγῷ) [Ἀρσιν(οΐτου) Ἡρ(ακλείδου) με(ρίδος)] |[2] παρὰ Στοτοήτ(ιος) Ἀγ[χώφεως τοῦ] |[3] Πανεφρέμεως, [μη(τρὸς)], |[4] ἀπὸ κώμης Σοκ[νοπαίου Νήσου, ἱερέως] |[5] γ̄ φυλ(ῆς) Σοκνοπαί[ου θεοῦ μεγάλου μεγάλου]. |[6] Ἀπογρ(άφομαι) ἐμαυτὸν κ[αὶ τοὺς ἐμοὺς] |[7] εἰς τὴν τοῦ διελη[λυθ(ότος)] κη (ἔτους)] |[8] Ἀντωνίνου Καίσα[ρος τοῦ κυρίου κα]|[9]τ' οἰκίαν ἀπ[ο]γρ(αφήν). κατ[οικῶ δὲ] |[10] ἐν οἰκίᾳ ἰδίᾳ. Εἰ[μὶ δέ ·] |[11] Στοτοῆτις, (ἐτῶν) μγ ὁ [προγεγρ(αμμένος), καὶ τὴν] |[12] γυναῖκ(ά) μου Τα[ουῆτιν] |[13] πρεσβυτ(έραν) Πακύ[σεως], |[14] (ἐτῶν) λγ καὶ τ[ὰ ἐξ ἡμῶν τέκνα Πανε]|[15]φρέμεως, (ἐτῶν) [ ] |[16] Θασῆν (ἐτῶν) ϛ. Ὑπ[άρχει μοι ἐν] |[17] τῇ κώμῃ μέ[ρος] |[18] μητρικὸν οἰκοπ[έδου καὶ] |[19] Ταουῆτιν μέ[ρος] |[20] μητρικ(όν). Διὸ ἐπ[ιδίδωμι] |[21] τὴν ἀπογρ(αφήν).

2. Zum Namen s. Denkschriften d. Wiener Akad. ph.-h. Kl. 47, 4 (1902) S. 142. 7. *Wessely* διελυ[λυθ'(ότος). 9. Am Zeilenende das δέ von Pr. hinzugefügt. 15. Lies Πανεφρέμιν. — 19. Lies Ταουήτει.

6697. Aschenurne. *Pagenstecher,* Die griechisch-ägyptische Sammlung *Ernst v. Sieglin,* Bd. II, Teil III S. 191, mit Abb. auf Taf. 16.

Δωρήτῃ |[2] γυναικὶ |[3] γλυκυτάτηι |[4] Εὔφημος ἀνήρ. |[5] Εὐψύχει, κυρία.

6698. Graffito außen an der Ostmauer der Kapelle des Psimmuthis und Hakoris in Karnak. *Daressy,* Annales du Serv. des Antiqu. de l'Égypte 18 (1919) S. 48.

Βαλσαμὼν |[2] Φιλοδήμου |[3] Λέδριος.

6699. Inschrift. **Weihung.** Terenuthis (Kôm Abu Billu, Delta). Frühptolemäisch. *C. Edgar,* Bulletin de la Société archéol. d'Alexandrie 19 (1923) S. 115, II. Kairo, Museum.

Κύπρι, τανυπτερύγων ἐπιτάρροθε μᾶτερ Ἐρώτων,
τιμαλφῶν τὰν σὰν εὐλίβανον θυμέλαν
θῆκε Ἁλικα[ρ]ν[α]σσεὺς Διονύσιος ἐδ[
ὄφρα καὶ ἐσσομ[έ]νοις τοῦτ' ἐσ[.]. . ο .[
5 ὥς νιν ἀπημάντῳ [. . . . .]σ[
ἔννυχος [
[ ]
π[ή]μ[α]τος ἐξ ὀ[λ]οοῦ . . . . . ον[
ἀλλὰ σύ, δῖα θεά· τῶν [σ]οι χάριν ὧ[δ' ἀνέθηκε?]
10 Σφίγγας κηώδει τῶιδε παρὰ πρ[οπύλωι].

1f. Es ist wohl der von *Griffith* gefundene Hathortempel (7th Memoir of the Egypt Exploration Fund S. 60f.). 4. Am Schluß ist ἐς [ἄ]πο̣ψ[ιν] möglich, E. 5. Möglich auch ἀπήμαντο[ν], E.

6700. Mumienaufschrift in Tinte; auf der Umhüllung steht der Text viermal. *G. Maspero,* Guide to the Cairo Museum (engl. Ausgabe)[4] S. 387/8. Ptolemäerzeit.

Ἀρτεμιδώρα ἄωρε, εὐψύχει, (ἐτῶν) ῡγ̄.

υγ: die erste Zahl ist vom Hg. offenbar falsch gelesen oder verschrieben, B.

6701. Inschrift. **Grabstele.** Im Faijûm gekauft. *E. Breccia,* Bulletin de la Société archéol. d'Alexandrie Nr. 19 (1923) S. 141 Nr. 30. Alexandria, Museum.

Παῖδα Ῥοδίππωι, ξεῖνε, Λεόντιον ἣν τέκε μήτηρ,
ἀστὴν ἠδεῖαν τύμβος ἐπέσχεν ὅδε,
τέσσαρας εἰς μῆνας λεύσσειν φάος ἧι θέμις ἦν καὶ
ὀκτὼ ὑπ' Ἡλίῳ διπλόα πάντα θέρη,
5 ὧν ἐπινυμφείην τρὶς πέντ' ἐτηῶν (ἐτῶν) Διόφαντος
εὖσαν σύλλεκτρον πάρθενον ἠγάγετο.
ἀρτίγαμον δὲ θανοῦσαν ἐλαφρὴν τήνδ' ὑπὸ βῶλον
ταρχύσας Λιβύης θῆκε ποθεινοτάτην.

6702. Inschrift. **Grabstein.** Aus Sidi Gaber (Alexandria). Ebd. Nr. 20 (1924) S. 268 Nr. 2, mit Zeichnung.

Αἴλιον Πούπλι|[2]ον Μαρκιανὸν |[3] γλυκύτατον |[4] Ἄρριος Οὐάλης |[5] ἀδελφός.

4. Hg. Οὐάλε(ν)ς.

6703. Inschrift. **Grabstein.** Aus Hadra. Ebd. S. 272 Nr. 14.

Ἀριστοβούλη.

6704. Papyrus. **Vertragliche Übereinkunft zwischen der Jägergilde von Aphrodito und ihren Vorständen.** Aus den Archiven des Dioskoros von Aphrodito (Kôm Ešqâw) [vgl. P. Lond. V, Introd.

6*

S. IIIf.]. Veröff. *M. Hombert,* Aegyptus IV 43f. 23. Januar 538 n. Chr. Universität Gent.

[Μ]ετὰ τὴν ὑπατείαν Φλ(αυίου) Βελισαρίου τοῦ ἐνδοξ(οτάτου), Τῦβι κη', πρώτης ἰνδικ(τίονος). |[2] Φ[λα]υίοις Ἑρμαυῶτι Ἀβρααμίο̄(υ) Καιανο̄(ῦ), Δίῳ Ὥρο̄(υ), κεφαλαιωταῖς |[3] [κ]αὶ ὁμοτέχνῃ ἡμῶν ἀπὸ κώμης Ἀφροδίτης τοῦ Ἀνταιοπολίτου νομοῦ, |[4] κοινότης τῶν ἀγρευτῶν τῶν καὶ διαφερόντων τῷ ἐνδόξῳ οἴκῳ |[5] τῆς αὐτῆς κώμης Ἀφροδίτης πρὸς τὴν ὑπογραφὴν τῶν εἰδότων |[6] καὶ ⟨ὑπὲρ⟩ τῶν μὴ εἰδότων ὑπογραψάντων, χαίρ(ειν). Ὁμολογοῦμεν κοινῇ γνώμῃ |[7] καὶ ἀδόλῳ προαιρέσει κατὰ τήνδε τὴν ἔγγραφον ἀσφάλειαν ὁμολογίαν, |[8] ἄνευ οἵας δήποτε βίας καὶ ἀνάγκης καὶ συναρπαγῆς, ἑκώντες (sic!) |[9] καὶ πεπεισμένοι, ὥστε ὑμᾶς εἶναι ἐπάνω ἡμῶν κεφαλαιωτὰς |[10] πρὸς ὃν βο(ύ)λεται χρόνον ὁ λαμπρότατος γεοῦχος ἀπὸ τῆς σήμερον καὶ |[11] προγεγραμμένης ἡμέρας, ἥτις ἐστὶν Τῦβι εἰκὰς ὀγδόη τῆς |[12] ἐνεστώσης πρώτης ἰνδικ(τίονος), καὶ ὑπακούειν ὑμῖν ἐν πᾶσι |[13] καλοῖς ἔργοις τοῖς ἀρέσκουσι τῷ θεῷ καὶ τοῖς ἀνθρώποις, |[14] πρὸς τὸ παλαιὸν καὶ γονικὸν ἡμῶν ἔθος ἀόκνως οὐ μὴν ἀλλὰ |[15] καὶ πάντα τὰ συνθέματα καὶ τὰς συνηθείας καὶ α.ρτικ. |[16] οντας ἐν τῇ γεγενημένῃ παρ' ἡμῶν ὁμολογίᾳ τῷ αὐτῷ γεούχῳ, |[17] ἡμῶν πάντων ἐπιγινωσκόντων ἐξ ἰσομερίας δικαίῳ |[18] λόγῳ. Εἰ δέ τις ἐξ ἡμῶν γαμήσῃ, δώσει οἴνο̄(υ) ἀγγῖα δύο. Εἰ δ' ἔκ |[19] τινος ἡμῶν γεννηθεῖσα, παρέξει οἴνο̄(υ) ἀγγῖον ἕν. Εἰ δέ τις ἐξ ἡμῶν |[20] [..]δ[.]δ[- -] |[21] βουλόμενος ἐν κρυπτῷ παρέξει[- -] |[22] πρ......τη.........θει.. παρὰ τοῦ ^αὐτοῦ^ πρώτου δώσει........ρου |[23] καὶ τὰ αὐτὰ ξύλα ε[ ] πρωτ[..]· ὁ δὲ λαβὼν τίμημα πάκτονος |[24] καὶ εὐχόμεν'ος' μετὰ τοῦ βουλομέν[ο(υ)] ἀγοράσαι τοῦτον τὸ'ν' πάκτονα καὶ [....] |[25] [.]ς πωλύσῃ τῷ αὐτῷ ἀνδρὶ ἄλλον πάκτονα παρὰ τὴν γνώμη[ν] |[26] τοῦ πρώτου ἀνθρώπο̄(υ) δώσει νόμισμα. Ὁ δὲ κλεψάμενος |[27] ἕνα ξ[ύ]λον ἐν λυστρ[ικῷ] τρ[ό]πῳ, εἰ μὲν ἐν τῷ ὕδατι, παρέξει χρυσοῦ |[28] [τ]ριμήσιον ἕν, εἰ δ' εὑρηθείη μὲν παρ' αὐτο̄(ῦ) ἐν τῇ ἐπα..[...] |[29] [- - - - - - - - v]όμισμα ἐπὶ τ[.]δε ἡμᾶς πάντας |[30] [- - - - -] καὶ συνελθεῖν μίᾳ γνώμῃ μετά τινος ἡμῶν |[31] [- - - - - - - - - - - -]το εἰσδιδομέν[ο]υ |[32] [- - - - - -] διο τὰ δὲ δημοσίᾳ τὰ καὶ ἀνήκο[ντα] |[33] [- - - - - -] ...σευοντα παρ' ἡμῶν διδόν[α]ι ηαθετος |[34] [- - - - - - - - - - - -] ἐγκαταβαλεῖν πρὸς τὸ ἔθος· ὁ δ[ὲ συγ]χωρήσας (hier bricht der Pap. ab).

2. L. Γαιανο̄(ῦ). 7. Pap. τηντε. — ἀσφάλειαν ⟨ἤτοι⟩ ὁμ. *Bell* (vgl. P. Lond. V 1660, 2). 10. γεοῦχος: wahrscheinlich der *comes Ammonius* (*Bell*). 25. [τι]ς? *Bell*. — L. πωλήσῃ. 27. L. ληστρικῷ. — τῳ^υ^δάτι Pap. 29. τ[ῷ] δὲ? *Bell*. 34. ὁ Pap. — χωρήσας auf einem isolierten Fragment, dessen Platz nicht ganz sicher ist.

6705. Papyrus. **Register des Grapheions von Tebtynis und Kerkesuchōn Oros.** *A. E. R. Boak,* The Anagraphai of the Grapheion of Tebtunis and Kerkesouchon Oros (Pap. Michigan 622) in The Journal of Egyptian Archaeology IX (1923) 164f. Von einer 2,39 m

langen und 29,30 cm breiten Papyrusrolle, die beiderseits beschriftet ist. Auf dem Rekto sind 4 ungewöhnlich breite Kolumnen in kleiner, aufrechter Kursive. Das Verso enthält 12 Parallelkolumnen mit je 20—22 Linien in einer breiten, schrägen Kursive. 42 n. Chr. Das ganze Verso ist eine Liste von 247 Kontrakten; das Rekto enthält Auszüge von 50 der auf dem Verso gebuchten Urkunden. Veröffentlicht wird nur

Kol. I Verso.

("Ετους) β Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ |[2] αὐτοκράτορος. ἀναγραφὴ γραφίο(υ) Τεβτ(ύνεως) καὶ Κερκε(σούχων) Ὄρο(υς). |[3] μη(νὸς) Γερμανικείου γ̄. πρᾶσις Ἡρόδο(υ) (sic!) πρὸς Ἁρπαῆσιν τόπο(υ) ψιλ(οῦ). |[4] ὁμολ(ογία) Κρονίω(νος) καὶ ἄλλω(ν) πρὸς Θεᾶνιν πρα⟨⟨ι⟩⟩ς ἀμπέλ(ου). |[5] ὁμολ(ογία) Πατύνιος πρὸς Θενψῦφιν φερνῆ(ς) ἀργυ(ρίου) λβ. |[6] δ̄. συνγρ(αφὴ) τροφῖτις Ἡρακλείο(υ) πρὸς Θενθῶνιν χρυσ(οῦ) κα. |[7] ὁμολ(ογία) Ὀρσεῦτο(ς) κ(αὶ) ἄλλων πρὸς Ψοσνεοῦν διαιρέσεως. |[8] ε̄. ὁμολογία Παπνεβτύνιο(ς) κ(αὶ) ἄλλ(ων) πρὸ(ς) Τκαῦμιν ἐνοική(σεως) (δραχμῶν) μ. |[9] ὁμολ(ογία) Λαβοήσιο(ς) εἰς Ταπεκ(ῦσιν) μερειτήας. |[10] μίσθω(σις) Μαρσισούχο(υ) κ(αὶ) ἄλλ(ων) πρὸς Λυσίμαχο(ν) νωμῶν. |[11] μίσθ(ωσις) Ψύφιος καὶ ἄλλω(ν) πρὸ(ς) Ὀρσενο(ῦφιν) ἐνοική(σεως) (δραχμῶν) κ. |[12] ὁμολογί(α) Λυσιμάχο(υ) κ(αὶ) ἄλλων πρὸς Ἡράκ(λειον) πράσ(εως) ὄνου. |[13] ὁμο(λογία) Πατύνιος πρὸ(ς) Σαμβ(ᾶν) πράσεως ὄνου. |[14] μίσθωσις Ψενκήβκιος πρὸς Μαρσισοῦχο(ν) (ἀρουρῶν) δ. |[15] ὁμολ(ογία) Διονυσίου πρὸς Πατῦνιν πράσεω(ς) ὄνου. |[16] δάνειο(ν) Διδύμο(υ) πρὸς Ἀρτεμίδ(ωρον) κ(αὶ) ἄλλο(ν) (δραχμῶν) ξη. |[17] ὁμολ(ογία) Ἡρόιδ(ου) (sic!) πρὸς Πατῦνιν τροφίμ(ου) δουλικο(ῦ). |[18] θ̄. δάνειο(ν) Πατύνιο(ς) πρὸς Ἡρώει(δην) ἀργυ(ρίου) (δραχμῶν) ρλσ. |[19] ια̅. μίσθωσις Χαιρή(μονος) πρὸ(ς) Μαρεῦν καὶ ἄλλο(ν) (ἀρουρῶν) σ.

4. Lies πράσεως. 9. Hg. Ταπεκ(ούσιον), für das ich keinen Beleg habe. Lies μεριτείας. 16 und 19. Oder ἄλλο(υς). 18. Richtig wohl ρλς.

6706. Grabinschrift. *Lefebvre,* Annales du Service des Antiquités 21 (1921) S. 165f. Aus Kôm Uschîm (Karanis). Kairo, Museum Inv. 47112.

Τί πλέον ἔστ' εἰς τέκνα πονεῖν ἢ πρός τι προτιμᾶν,
εἰ μὴ Ζῆνα κριτὴν ἕξομεν, ἀλλ' Ἀΐδην;
Δὶς δέκα γὰρ μ' ἐκόμησε πατὴρ ἔτη, οὐδ' ἐτέλεσσα
νυμφιδίων θαλάμων εἰς ὑμέναια λέχη,
5 οὐδ' ὑπὸ παστὸν ἐμὸν δέμας ἤλυθεν, οὐδ' ἐκρότησαν
πάννυχ' ὁμηλικίη⟨⟨ς⟩⟩ κεδροπαγεῖς σανίδας.
Ὤλετο παρθενίη σειρὴν ἐμή· αἰαῖ ἐκείνην
Μοῖραν, ἰή, ἥτις ἐμοὶ νήματα πίκρ' ἔβαλεν.
Μαστοὶ μητρὸς ἐμῆς κενεὸν γάλα τοί μ'⟨⟨ε⟩⟩ ἐκόμησαν,
10 οἷς χάριν οὐ δυνάμην γηροτρόφον τελέσαι.
Ὡς ὄφελον (sic!) θνήσκουσα λιπεῖν πατρὶ τέκνον, ὅπως μὴ
αἰῶνα μνήμης πένθος ἄλαστον ἔχηι.

6707

Κλαύσατε Λυσάνδρην, συνομήλικες, ἣν Φιλον[ί]κη
καὶ Εὔδημος κούρην τὴν ἐτέκοντο μάτην.
15 Τοῖσιν ἐμὸν στείχουσι τάφον μέγ' ἐνεύχομαι ὑμῖν:
κλαύσατ' ἄωρον ἐμὴν ἡλικίαν ἄγαμον.

6707—6820 (vgl. 6989—6994; 6997/8). **Zenonpapyri.** Sie gehören einem während des Krieges in Charabet el Gerza, dem alten Philadelpheia, im Faijûm durch Dungerde grabende Bauern gemachten Zufallsfund an und bildeten das Privatarchiv eines dort lebenden und im Auftrag des großen Finanzministers Ptolemaios' II., des Apollonios, wirkenden Mannes namens Zenon. Einige Texte datieren erst aus der Regierung Euergetes' I. Nähere Umstände über die Auffindung sind nicht bekannt. Die Dokumente sind durch Händler an verschiedene Interessenten verkauft worden. Die nach Florenz gekommenen Teile sind in P. Soc. It. IV—VII veröffentlicht, andere, die nach London und Manchester wanderten, sollen von *Bell* und *Grenfell* herausgegeben werden (vgl. 6997/8). Auch Hamburg hat einige gekauft, vgl. *P. M. Meyer* in P. Hamb. Nr. 27; 105—117; einer ist mit großer Wahrscheinlichkeit von *Schubart* in BGU VI 1297, ein anderer von *Wilcken* in P. Freiburg 7 [1]) erkannt worden. Die großen Teile des Fundes, welche vom Kairener Museum erworben wurden, sind von *Edgar* in den neueren Bänden der Annales du Service des Antiquités de l'Égypte — von Bd. 18 (1919) ab — veröffentlicht und daher im Folgenden abgedruckt worden. Da diese letzteren als P. Zenon 1 usw. zitiert werden, habe ich diese Nummern beigefügt. In der Sammlung der Universität Wisconsin ist ebenfalls ein Stück dieses Archives festgestellt, von dem der publizierte Teil unten als Nr. 6797 mitgeteilt ist. Veröffentlicht ist endlich ein zu dem Fund gehöriger P. Michigan Inv.-Nr. 45 (unten Nr. 6798); ein wichtiger der Cornell-Universität ist soeben in Classical Philology 19 (1924) [= Nr. 6796] erschienen. Liller Stücke hat *P. Jouguet* in Cinquantenaire de l'École des Hautes Études 215f. mitgeteilt [2]). Auch P. Lille I 58 gehört hierher [3]). Viele der einschlägigen Probleme sind im Anschluß an die neuen Texte von *M. Rostovtzeff,* A large estate in Egypt in the third century b. C. (University of Wisconsin Studies in the social sciences and history Nr. 6), 1922, behandelt. Die Texte gehören sämtlich dem 3. vorchristlichen Jahrhundert an und sind alle auf Papyrus geschrieben.

(6707). Zenon 1: *Edgar,* Annales 18 (1919) S. 162f. **Gelddarlehen.** 274/3 v. Chr. Doppel zu P. Soc. Ital. 321.

[1]) = SB 5942. *Wilcken,* Archiv VI 384, 4.

[2]) Bibliothèque de l'École des Hautes Études 230 (1921).

[3]) Vgl. auch *Bell,* Archiv f. Pap. VII, 17f.

[Βασιλεύοντος Πτολεμαίο]υ τοῦ Πτολεμαίου, |[2] [ἔτους δωδεκάτου, ἐφ' ἱερέως Λ]εοντ[ί]σκου τοῦ Καλ|[3][λιμήδους, μηνὸς Περιτίου, ἐ]μ Πίτωι τοῦ Μεμφί|[4][του νομοῦ]. Ἐδάνεισεν Δι]ονύσιος Ἀπολλωνίο[υ] |[5] [. . . . . . . τῶν περὶ Δείν]ωνα Ἰσιδώρωι Θραικ[ὶ] |[6] [τῶν Λυκο . . . . . . τεσσα]ρακονταρούρωι ἀγρυ|[7]-[ρίου δραχμὰς τριάκοντ]α τέσσαρας. Τοῦτο |[8] [δ' ἐστὶν ἡ τιμὴ τοῦ βασιλικο]ῦ σίτου, τόκου ὡς |[9] [. . . . . δραχμῶν τῆι μνᾶι ἑ[κάστηι τὸμ μῆνα |[10] [ἕκαστον. Ἀποδότω δ]ὲ Ἰσίδωρος Διονυσίωι |[11] [τὸ δάνειον ἐμ μηνὶ Ἀ]ρτεμισίωι τῶι ἐν τῶ[ι] |[12] [τρεισκαιδεκάτωι ἔτε]ι̣ καὶ [τὸ]ν̣ τ[όκον]. |[13] Rückseite: Πρὸς Ἰσίδωρον |[14] (δραχμὰς) λδ.

12. Möglich ist [ἔτει] β̣.

(6708). Zenon 2: Ebd. S. 163. **Brief.** 258/7 v. Chr.

Ἀπολλώνιος Ζήνωνι χαίρειν. Ἀπεστάλκαμεν πρὸς σὲ |[2] Νικόμαχον καὶ Ζωίλον. Σύστησον οὖν αὐτοὺς [. . .] |[3] εἰς τὸν κέλητα (ἢ τὴν κυβαίαν), ὅπως πλέωσι, καὶ τὸ ὀψώνιον, ὃ καὶ τοῖς |[4] λοιποῖς ἐκτίθεται, καὶ οὗτοι λαμβάνωσιν. Ἔχουσι δὲ πρόδομα |[5] παρ' ἡμῖν ἕκαστος ἀργυρίου δραχμὰς εἴκοσι. |[6] Ἔρρωσο. (Ἔτους) κϛ, Ὑπερβερε(ταίου) κε |[7] Rs. (2. H.) (Ἔτους) κϛ, Ὑπερβερεταίο̣υ̣ (ε). Ζήνωνι.

2. Vielleicht [προ]εἰς. 3. Vgl. cybaea.

(6709). Zenon 3: Ebd. S. 165. Der obere Teil war versiegelt, 3 Siegel sind noch vorhanden. **Vertrag über Sklavenkauf** (Verkauf einer Sklavin), aufgesetzt im Ammonlande, östlich des Jordans, in der Stadt Birta. 259/8 v. Chr. Vgl. *Wilcken,* Archiv 6 S. 449. *A. Deißmann,* Byzantin.-neugriech. Jahrbücher 2 (1921), 275. *H. Greßmann,* Die ammonitischen Tobiaden (Sitzungsber. d. preuß. Akad. 1921, 663f.). Schlechte Abbildung *Vincent,* Revue biblique 29 (1920) S. 180; vgl. S. 182f.

Πτολε]μαίου καὶ τοῦ υἱοῦ Πτολεμαίου, ἔτους ἑβδόμου καὶ εἰκοστοῦ,
]κανηφόρου Ἀρσινόης Φιλαδέλφου τῶν ὄντων ἐν Ἀλεξανδρείαι,
Ἀμ]μανίτιδος. Ἀπέδοτο Νικάνωρ Ξενοκλέους Κνίδιος
Ζ]ήνωνι Ἀγρεοφῶντος Καυνίωι τῶν περὶ Ἀπολλώνιον
]α̣ ὤνιον ἧι
5] . ι]] ὄνομα Σφραγὶς ὡς ἐτῶν ἑπτὰ δραχμῶν πεντήκοντα.
κληροῦχος
]τ̣ῶν Τουβίου [[τῶν Τουβίου ἱππέων κληροῦχος]]. Μάρτυρες·
]τῶν Τουβίου ἱππέων κληροῦχος]], Πολέμων Στράτωνος
]ῦχος, Τιμόπολις Βοτέω Μιλήσιος, Ἡράκλειτος Φιλίππου Ἀθηναῖος,
Δημόστρ]ατος Διονυσίου Ἀσπένδιος, οἱ τέσσαρες
10]ην.

[Βασιλεύοντος Πτολε]μ̣αίου τοῦ Πτολεμαίου καὶ τοῦ υἱοῦ Πτολεμαίου, ἔτους ἑβδόμου
[καὶ εἰκοστοῦ, ἐφ' ἱερέως Ἀλ]εξάνδρου καὶ θεῶν Ἀδελφῶν, κανηφόρου Ἀρσινόης Φιλαδέλφου

[τῶν ὄντων ἐν Ἀλε]ξανδρείαι, μηνὸς Ξανδικοῦ, ἐν Βίρται τῆς Ἀμμανίτιδος.
περὶ Τουβίαν
[Ἀπέδοτο Νικάνωρ Ξ]ενοκλέους Κνίδιος τῶ[ν] [[Τουβίου ἱππέων κληροῦχος]]
15 [Ζήνωνι Ἀγρεοφῶντ]ος Καυνίωι τῶν περὶ Ἀπολλώνιον τὸν διοικητὴν
μα
[παιδίσκην τινὰ ὤ]νιον ἧι ὄνο Σφραγὶς ὡ[ς ἐτ]ῶν ἑπτὰ δραχμῶν πεντήκοντα.
[Βεβαιωτὴς ...]ος Ἀνανίου Πέρσης [τῶ]ν Τουβίου [[ἱππέων]] κληροῦχος.
]. ωνα δικαστής,
[Μάρτυρες· [[.....]. ος Ἀγάθωνος Πέρσης]] Πολέμων Στράτωνος Μακεδών,
[[[οἱ δύο]] τῶν Τουβίου ἱ]ππέων κληροῦχοι, Τιμ[όπο]λις Βοτέω Μιλήσιος,
20 [Ἡράκλειτος Φιλίππου Ἀθηναῖος,] Ζήνων Τιμάρχου [Κο]λοφώνιος, Δημόστρατος
[Διονυσίου Ἀσπένδιος, οἱ] τέσσαρες τῶν περὶ Ἀπολλώνιον τὸν διοικητήν.
Rs. Ὠνὴ παιδίσκη[ς].

8. L. [κληρο]ῦχοι, B. 17. Vielleicht [ἔγγυος ὁ δεῖνα]. Βεβαιωτής *Wilcken* a. a. O.

(6710). Zenon 4: Ebd. S. 166f. **Brief.** 259/8 v. Chr. Vgl. *Wenger,* Krit. Vierteljahresschr., 3. Folge, 20 (1923) S. 9f.

[Ἀλέξαν?]δρος Ὀρύαι χαίρειν. Ἐκομισάμην τὸ παρὰ σ[οῦ ἐ]πιστόλι[ον],
[ἐν ὧι ὑ]πέγρ[α]ψάς μοι τήν τε παρὰ Ζήνωνος πρὸς Ἰεδδοῦν γεγρ[αμμένην,]
[ὅπως ἄν], ἐὰμ μὴ ἀποδιδῶι τἀργ[ύ]ριον Στράτωνι τῶι παρὰ Ζήνωνος [πα]-
[ραγενο]μένωι, ἐνέχυρα αὐτοῦ π[αραδ]είξωμεν αὐτῶι. Ἐγὼ μὲν [οὖ]ν
5 [ἄρρωστ]ος ἐτύγχανον ἐ^κ^χ φαρμακείας ὤν, συναπέστειλα [δὲ Στ]ράτωνι
[τῶν ἐ]μῶν νεανίσκον καὶ ἐπιστολὴν ἔγρ[α]ψα πρὸς Ἰεδδοῦν. Παραγενόμενοι
[οὖν εἶπ]όν μοι μηθένα λόγον πεποιῆσθαι τῶι ἐπιστο[λίωι μου], αὐτοῖς δὲ
[χεῖρας] προσενεγκεῖν καὶ ἐγβα[λεῖ]ν ἐκ τῆς κώμης. Γέγραφα ο[ὖ]ν σοι.
Ἔρρωσο. (Ἔτους) κζ, Περιτίου ἐμβολίμου κ.
10 Rs. Ὀρύαι.

2. ὑ]πέγρ[α]ψας *Wilcken,* Archiv 6 S. 449. *Edgar* ἀ]πέγρ[α]ψας.

(6711). Zenon 5: Ebd. S. 167f.; vgl. 20 (1920), 187, 1. **Amtliches Schreiben.** 258/7 v. Chr. Vgl. *Wilcken,* Archiv f. Pap. 6 S. 449f. *Segrè,* Circolazione Tolemaica (Rivista Ital. di Numismatica 33, 1920, S. 35; 45). *Schubart,* Zeitschrift f. Numismatik 33 (1921) S. 74f., dessen Text ich zugrunde lege. *Kubitschek,* Trichryson, Mitteil. d. numismat. Gesellsch. in Wien 1922, 164f. (mir unzugänglich).

Ἀπολ[λων]ίωι χαίρειν Δημήτριος. |² καλῶς ἔχει, εἰ αὐτός τε ἔρρωσαι καὶ |³ τἆλλα σοι κατὰ γνώμην ἐστίν. |⁴ Καὶ ἐγὼ δὲ καθάπερ μοι ἔγραψας |⁵ προσέχειν ποιῶ αὐτὸ καὶ δέδεγμαι |⁶ ἐκ χρ(υσίου) Μ^ε^Ζ^϶^ καὶ κατεργασάμενος |⁷ ἀπέδωκα. ἐδεξάμεθα δ᾽ ἂν καὶ |⁸ πολλαπλάσιον, ἀλλὰ καθά σοι καὶ |⁹ πρότερον ἔγραψα, ὅτι οἵ τε ξένοι |¹⁰ οἱ εἰσπλέοντες καὶ οἱ ἔμποροι καὶ οἱ |¹¹ ἐγδοχεῖ[ς] καὶ ἄλλοι φέρουσιν τό τε |¹² ἐπιχώριο[ν] νόμισμα τὸ ἀκριβὲς καὶ |¹³ τὰ τρίχρυσα, ἵνα καινὸν αὐτοῖς γέ|¹⁴νηται, κατὰ τὸ πρόσταγμα, ὅ κε|¹⁵λεύει ἡμ[ᾶ]ς λαμβάνειν [καὶ] κ[ατερ]|¹⁶γάζεσ[θαι] φιάλας, τοῦ δὲ μεσ[...]|¹⁷ωντος δέχεσθαι οὐκ ἔχον[τ]ες,

ἐ[πὶ] |18 τίνα τὴν ἀναφορὰν ποιησώ[μεθ]α |19 [π]ερὶ τούτων, ἀναγκαζ[όμεθ]α τ[ο]|20[σαύ]τας μὴ δέχεσθαι· οἱ δὲ ἄ[ν]|21θ[ρω]ποι ἀγανα[κ]τοῦσιν οὔ[τε] ἐπ[ὶ] |22 τραπεζῶν οὔτε εἰς τὰ τ[ά]λ[αν]|23τα ἡμῶν δεχομ[ένω]ν οὔτε δυνά|24μενοι εἰς τὴν χώραν ἀποστέλλειν |25 ἐπὶ τὰ φορτία, ἀ[λ]λὰ ἀργὸν φάσκου[σι]ν |26 ἔχειν τὸ χρυσίον καὶ βλάπτεσθαι οὐ|27κ ὀλίγα ἔξοθεν μεταπεπεμμένοι |28 καὶ οὐδ' ἄλλοις ἔχοντες ἐλάσσονος τιμῆς διαθέσθαι εὐχερῶς. |29 καὶ οἱ κατὰ πόλιν δὲ πάντες τῶι ἀπο|30τετριμμένωι χρυσίωι δυσχερῶς χρῶνται· |31 οὐδεὶς γὰρ τούτων ἔχει οὗ τὴν ἀναφο|32ρὰν ποιησάμενος καὶ προσθείς τι κο|33μιεῖται ἢ καλὸν χρυσίον ἢ ἀργύριον |34 ἀντ' αὐτοῦ. νῦν μὲν γὰρ τούτων τοι|35ούτων ὄντων ὁρῶ καὶ τὰς τοῦ βασι|36λέως προσόδους βλαπτομένας οὐ|37κ ὀλίγα. γέγραφα οὖν σοι ταῦτα, ἵ|38να εἰδῆις καί, ἐάν σοι φαίνηται, τῶι |39 βασιλεῖ γράψηις περὶ τούτων καὶ ἐμοί, |40 ἐπὶ τίνα τὴν ἀναφορὰν περὶ τούτων |41 ποιῶμαι. συμφέρειν γὰρ ὑπολαμβάνω, |42 ἐ[ὰν] καὶ ἐκ τῆς ἔξοθεν χώρας χρυσίον |43 ὅτι πλεῖστον εἰσάγηται καὶ τὸ νό|44μισμα τ[ὸ] τ[οῦ] βασιλέως καλὸν καὶ |45 καινὸν ἦι διὰ παντὸς ἀνηλώματ[ος] |46 μηθενὸς γινομένου αὐτῶι. περὶ μὲν |47 [γά]ρ τινων, ὡς ἡμῖν χρῶνται, οὐ καλῶς |48 εἶχεν γράφειν, ἀλλ' ὡς ἂν παραγένηι, ἀ|49κ[ού]σει[ς 21 B.] γρά|50ψον μοι περὶ τούτων, ἵνα οὕτω ποιῶ. |51 Ἔρρωσο. |52 (Ἔτους) κη, [Γ]ορπιαίου ῑε. Verso (2. H.): |53 Δημητρίου. |54 [Ἀ]πολλωνίωι.

16/7. μεσ[εγγυ]ῶντος *Schubart*. 27. Lies ἔξωθεν (ebenso 42). 38. Hinter φαίνηται steht ein getilgtes ἢ. 39. Vor ἐμοί nach *Schubart* wohl ein getilgtes ἢ (nicht ζ *Edgar*).

(6712). Zenon 6: Ebd. S. 172. **Brief.** 258/7 v. Chr.

Ποσειδώνιος Ἀπολλωνίωι |2 χαίρειν. Ἐξ σιτηγοῦ τινος |3 τῶν ἡμετέρων ἀναπλέοντος |4 εἰς τὴν χώραν ἐμβάντες ἐμ Μέμφει |5 οἱ π[ε]ρὶ Σωσίστρατον ἐξείλοντο |6 τὸ[ν σί]δη[ρ]ον, ὃν [ἀ]ναγκαῖον ἦν ὑπάρχειν |7 ἐν τῶι πλοίωι πρὸς τὰς προσπι|8πτ[ο]ύσας χρείας· ἀδύνατον γάρ |9 μοι δοκεῖ ε[ἶ]ναι ἄνευ τῶν ἀναγ|10καίων σκευῶν πλεῖν τὰ πλοῖα, |11 καὶ ἐμοῦ αὐτοῖς γράψαντος πλεονάκις |12 ἀποδοῦναι οὐ προσέσχον, ἀλλ' ἀπέδοντο. |13 Γέγραφα οὖν σοι, ὅπως εἰδῆις, ὅτι |14 τοιοῦτοί εἰσι οἱ πρὸς ταῖς φυλακαῖς |15 τεταγμένοι. |16 Ἔρρωσο. (Ἔτους) κη, Δίου κα. Rs. 2. H. |17 Ποσειδων⟨ί⟩ου |18 ἐδεάτρου περὶ |19 Σωσιστράτου |20 τελώνου. Ἀπολλωνίωι.

(6713). Zenon 7: Ebd. S. 173 = Soc. IV 435. **Brief.** 258/7 v. Chr. Vgl. *Wilcken*, Archiv 6 S. 394f.

Ἀπολλωνίωι χαίρειν Ζωίλος Ἀσπένδιος τ[ῶν] |2 ὃς καὶ διασυνεστάθη σοι τῶν τοῦ βασιλέως φίλων. ἐμοὶ συμβέβηκεν |3 θεραπεύοντι τὸν θεὸν Σάραπιν περὶ τῆς σῆς ὑγιείας καὶ εὐ[η]μερίας τῆς |4 πρὸς τὸμ βασιλέα Πτολεμαῖον τὸν Σάραπίμ μοι χρημα[τίζει]ν πλε[ον]άκ[ι]ς |5 ἐν τοῖς ὕπνοις, ὅπως ἂν διαπλεύσω πρὸς σὲ καὶ ἐμ[φανίσω σοι τοῦτ]ο[ν] τὸ[ν] |6 χρηματισμόν, ὅτι δεῖ συντελεσθῆναι αὐτ .[ ] |7 καὶ τέμενος ἐν τῆι Ἑλληνικῆι πρὸς τῶι λιμέν[ι] κα[ὶ] ἱ[ερέα] ἐπιστατεῖν κ[αὶ] |8 ἐπιβωμίζειν ὑπὲρ ὑμῶν. ἐμοῦ δὲ π[α]ρ[ ] |9 ὅπως ἄμ με παραλύσηι τοῦ ἐνταῦθα [. . . ο]υ, εἰς ἀρρωσ[τ]ία[ν] μ[ε πε]ριέβαλεν |10 μεγάλην, ὥστε

καὶ κινδυνεῦσαί [με]· προσευξάμενος δ[ὲ] αὐ[τῶι, ἐ]ά[μ με] |[11] ὑγιάσηι, διότι ὑπομενῶ τὴν λῃτο[υργ]ίαν, καὶ ποιή[σει]ν τὸ ὑφ' αὐτοῦ |[12] προστασσόμενον, ἐπεὶ δὲ τάχιστα ὑγιάσθην, παρεγένετό τις ἐκ Κνίδου, ὃς ἐνεχείρησεν οἰκοδομεῖν Σαραπιεῖον ἐν τῶι τόπωι τούτωι καὶ προσ|[14]αγηγόχει λίθους· ὕστερον δὲ ἀπεῖπεν αὐτῶι ὁ θεὸς μὴ οἰκοδομεῖν, κἀκεῖνος |[15] ἀπηλλάγη. ἐμοῦ δὲ παραγενομένου εἰς Ἀλεξάνδρειαν καὶ ὀκνοῦντός σοι |[16] περὶ τούτων ἐντυχεῖν, ἀλλὰ περὶ πραγματείας, ἧς καὶ ὡμολογήκεις μοι, |[17] πάλιν ὑπετροπάσθην μῆνας τέσσερας· διὸ οὐκ ἠδυνάμην εὐθέως παραγε|[18]νέσθαι πρὸς σέ. καλῶς οὖν ἔχει, Ἀπολλώνιε, ἐπακολουθῆσαί σε τοῖς ὑπὸ τοῦ θεοῦ προστάγμασιν, ὅπως ἂν εὐίλατός σοι ὑπάρχων ὁ Σάραπις πολλῶι σε |[20] μείζω παρὰ τῶι βασιλεῖ καὶ ἐνδοξότερον μετὰ τῆς τοῦ σώματος ὑγιείας |[21] ^σὺ οὖν^ ποιήσηι. μὴ καταπλαγῆις ⟦.⟧ τὸ ἀνήλωμα ὡς ἀπὸ μεγάλης σοι δαπάνης |[22] ἐσομένης, ἀλλ' ἔσται σοι ἀπὸ πάνυ λυσιτελοῦντος· συνεπιστατήσω γὰρ ἐγὼ πᾶσι |[23] τούτοις. |[24] Εὐτύχει.

Verso (2. H.): |[25] Ζωίλου περὶ Σαράπιος. Ἀπολλωνίωι.
|[26] (Ἔτους) κη, Αὐδναίου θ,
|[27] ἐν τῶι Βερενίκης
|[28] Ὅρμωι.

7. Ἑλληνικῆι sc. πόλει *Edgar*. 9. [ἔργο]υ? *Edgar*. 11. L. ὑπ' αὐτοῦ.

(6714). Zenon 8: Ebd. S. 176. **Brief.** 258/7 v. Chr.

Ἀμύντας Ζήνωνι χαίρειν. |[2] Ὑπολαμβάνομεν ἀποδημίαν |[3] ἡμῖν παραγγελήσεσθαι, τὰ δὲ |[4] πλοῖά ἐστιν ἡμῶν ἀκατάσκευα. |[5] καλῶς ἂν οὖν ποιήσαις φροντίσας, |[6] ὅπως γέν^ων^⟦η⟧ται ἡμῖν τά τε στε|[7][γ]άσματα τοῖς πλοίοις καὶ τὰ |[8] λοιπὰ χρηστά τε ⟦κα .... καὶ τοῦ⟧ |[9] καὶ τοῦ [κ]αλῶς ἔχοντος. ἀργύριον |[10] [δ]ὲ εἰς ταῦτα χαριεῖ ἡμῖν συντά|[11]ξας ἐμ Μέμφει δοθῆναι, παρ' ἡ|[12]μῶν δὲ ἐν πόλει κομιῆι. καὶ τὴν |[13] ταχίστ[η]ν, ἵνα γενόμενα, ὡς ἂν |[14] παραγ[έν]ηι εἰς πόλιν, κατα|[15]γάγη[ις] ἡμῖν. ἀφεστάλκα|[16]μεν δέ σοι τὴν γραφὴν πάντων |[17] Ἕρμωνα κομίζοντα καὶ ἅμα, |[18] ἵνα γένηται πρὸς τούτοις. |[19] Ἔρρωσο. (Ἔτους) κη, |[20] Δύστρου ιγ. Rs. Undeutliche Spuren der Inhaltsangabe. |[21] Ζήνωνι.

(6715). Zenon 9: Ebd. S. 178. **Liste von benötigten Gegenständen für eine Reise.** Wohl zu Zenon 8 gehörig. 258/7 v. Chr. Vgl. *Wilcken*, Archiv 6 S. 450.

Kol. I.

[Γραφὴ]
[ὧ]ν δεῖ κ[ατασ]κευα[σ]θῆναι
εἰς τὸν κέρκουρον.
πρυμνητικὴ μῆκος π[ηχ]ῶν ια,
5 πλάτος πηχῶν ϛL
ἔχουσα συναγωγὴν εἰς πή[χ]εις γ,
τοῦ ἄκρου συνοξῦναι τοῦ περὶ
τὴν πρύμναν πλάτος πή[χ]εις βL.
—
ἄλλη μῆκος πηχῶν ι,
10 πλάτος πηχῶν ϛL,
—
ἄλλη μῆκος πηχῶν ια,
πλάτος πηχῶν ϛL.
—
ἄλλη πρωιρατικὴ μῆκο[ς]
πηχῶν η,
15 [σ]υνοξῦναι πε[ρὶ τὴν] πρῶι[ρ]αν
[ἐ]πὶ πήχεις ϛ,

[τ]οῦ ἄκρο[υ] πλά[τος πή]χεις βL.

[κυβ]αίας.
πρυμνητικὴ μῆκος πήχεις ια,
20 πλάτος πήχεις ζL
συναγωγὴν ἔχο[υ]σα ἐπὶ πήχεις γ,
πλάτος τῆς συναγωγῆς πήχεις βL.

ἄλλη μῆκος πηχῶν ι,
πλάτος πήχεις ζL.

25 ἄλλη μῆκος πηχῶν ια,
πλάτος πηχῶν ζL.

πρωιρατικὴ μῆκος πηχῶν η,
πλάτος πηχῶν ζL.

Kol. II.

[αὐλαίαν λινῆν ου]-
30 σαν[.. ἑ]ξήκοντα πήχει[ς], εἰ δὲ μὴ,
ὀπ..[..]. ανωσιν.

ῥίσκον [χ]ωροῦντα ὅσον στ[ο]λὰς
δέκα,
ἄλ[λο]ν ἐλ[άσ]σω.

σκην[ὴ]ν μάλιστα μὲν πεντα-
35 κλινικήν, ἐὰν δὲ μικρῶι ἐλάσσω ἧι,
μηθέν σοι διαφερέτω.

αὐλαίαν ἐρεᾶν θόλωι μῆκος πηχῶν κς,
πλάτος πήχεις γL.

ἀριστοφ[ό]ρον μεῖζον.

40 θυρεοὺς β.

μαχαίρας σιδηροκολέους β.
[σκ]υτοκολέους β.

[ ]κους [.]

[ὑπ]ηρέσια κερκούρου κ.

45 [ ]ρτην α.

χάρτας ἐγδοῦναι πεντηκοντα-
κόλλους ν,
καὶ τῶν νῦν γινομένων χρηστοὺς ρ.

Rs. Ζήνωνι
50 ὑπόμνημα.

4. Sc. στέγη o. ä. 29. αὐλαίαν λινῆν nach P. Soc. It. 533, 5. 31. Lesung sehr zweifelhaft; vielleicht ὀπό σ[ω]ν ἂν ὦσιν? 32. στολάς ist unsicher. 34. Vgl. P. Soc. It. 533, 2. σκηνή etwa „Kabine".

(6716). Zenon 10: Ebd. S. 181. **Brief.** 258/7 v. Chr.

Ἀριστεὺς Ζήνωνι χαίρειν. Ἔγραψάς μοι συντάσσων δοῦναι τοῖ[ς - - - |[2] μηνῶν δ. ἐγὼ δὲ Ἀμύντου μοι συντάσσοντος ἔδωκα αὐτοῖς Λωίου [- - - - |[3] Διογνήτω[ι δὲ] καὶ εἰς Δῖον, καὶ Ἑρμοκλεῖ ἀπὸ μηνὸς Ὑπερβερεταίου ἕως [- - - - |[4] κατὰ τὴν παρὰ Ἀπολλωνίου ἐπιστολὴν εἰς Γορπιαῖον, καὶ Σατυρα [- - - - |[5] εἰς Ὑπερβερεταῖον καὶ Δῖον, Ἀρτεμιδώρωι ἐλεάτρωι ἀπὸ Πανήμου [- - - - |[6] κηπουρῶι μηνῶν τριῶν, ὧν τοῦ καθ' ἕν σοι λόγος ὑπάρχει. γέγραφα [- - - - |[7] καὶ νῦν δὲ σοῦ γεγραφότος δώσομεν αὐτοῖς· καὶ γὰρ ἀγανακτοῦσιν [- - - - |[8] χρόνου αὐτοῖς ἐφέλκεσθαι. Ἔρρωσο. (Ἔτους) κη[

Rs. 2. H. |[9] Ἀριστεὺς περὶ τῶν ὀψωνίων Ζήνωνι.
|[10] τῶν τοῖς σώμασιν. (Ἔτους) κθ,
|[11] Ξανδικοῦ γ, ἐμ Μέμφει.

1. Τοῖ[ς σώμασιν τὰ γινόμενα ὀψώνια] o. ä. 2. Vielleicht [Γορπιαίου, Ὑπερβερεταίου]. 7. [ἐπὶ τῶι τὰ ὀψώνια διὰ πολλοῦ]. 8. [Δύστρου κ].

(6717). Zenon 11: Ebd. S. 227f. **Brief.** 258/7 oder 257/6 v. Chr. Vgl. *Wilcken,* Archiv 6 S. 450.

Ἱεροκλῆς Ζήνων[ι χ]αίρειν. [εἰ ἔ]ρρωσαι, ἔχοι ἂν καλῶς, ὑγιαίνομεν δὲ κα[ὶ αὐτοί. Ἔγραψάς] |[2] μοι περὶ Πύρρου, εἰ [μὲ]ν ἀκρει[βῶ]ς ἐπιστάμεθα, ἀλείφειν αὐτόν, εἰ δὲ μεν[.............] |[3] μά τε μάταιον προσπεσεῖν καὶ [ἀ]πὸ τῶν γραμμάτων ἀποσσπαθῆναι. π[ερὶ μὲν οὖν τοῦ] |[4] ἐπίσστασθαι (sic!) οἱ θεοὶ μάλιστ' ἂν εἰδέησαν, Πτολεμαίωι δὲ φαίνεται. [...........] |[5] ὅτι τῶν νῦν ἀλιφομένων, οἳ προειλήφαμεν χρόνον πολύν, πολὺ κρεί[σσων ....] |[6] καὶ σφόδρα ὀλίγου χρόνου πολὺ ὑπερέξει αὐτῶν· προσπορεύεται δὲ [...........] |[7] καὶ πρὸς τὰ λοιπὰ μαθήματα· σὺν δὲ θεοῖς εἰπεῖν, ἐλπίζω σε στεφανωθήσεσ[θαι. ἀπόστειλον] |[8] δὲ αὐτῶι ἐγλουστρίδα ὅτι τάχος, καὶ μάλιστα μὲν ἔστω τὸ δέρμα αἴγειον, [εἰ δὲ μή, μόσχειον] |[9] λεπτόν, καὶ χιτῶνα καὶ ἱμάτιον καὶ τὸ στρωμάτιον καὶ περίστρωμα [καὶ προσκεφάλαια] |[10] καὶ τὸ μέλι. ἔγραψας δέ μοι· θαυμάζεις, εἰ μὴ κατέχω, ὅτι τούτοις πᾶσι τ[έλος ἀκολουθεῖ]. |[11] ἐπίσταμαι, ἀλλὰ σὺ εἱκανὸς εἶ διοικῶν, ἵνα ἀποσταλῆι ὡς ἀσφαλέστατ[α]. |[12] Rs. 2. H. Ἱεροκλῆς περὶ Πύρρου. Ζ[ή]νωνι. |[13] (Ἔτους) κθ, Ξανδικοῦ γ̄, |[14] ἐμ Μέμφει.

2. εἰ δὲ μέν[τοι ..... ἀνήλω]-? 3. L. ἀποσπασθῆναι. 4. L. εἰδείησαν. 8. ἐγλουστρίδα: vgl. Pollux 7, 66.

(6718). Zenon 12: Ebd. S. 230. **Brief.** 257/6 v. Chr.

Κρότος Ζήνωνι χαίρειν. Γίνωσκε Ἄλεξιν οὐθὲν πεποιηκότα τὸ κα[τὰ] |[2] τὴν παιδίσκην, ἣν ἐνεχυράσαμεν παρὰ τῶν ἐπιπλευσάντων ἐπὶ τοῦ ἐλα[ίου] |[3] πρὸς τὸ κατακριθὲν αὐτῶν· οὔτε γὰρ τἀργύριον ἡμῖν ἀποδίδωσιν οὔτε τὴ[ν] |[4] παιδίσκην. ὡσαύτως δὲ καὶ τὰ πρὸς Θήρωνα τὸν ἐκ τῆς κυβαίας ναύτην ἔχ[ει]· |[5] προήκατό (τε) γὰρ αὐτὸν ἐκ τοῦ δεσμωτηρίου, καὶ τὸ παράπαν οὐκ ἔστιν ἐνφανή[ς]. |[6] Ἔρρωσο. (Ἔτους) κθ, Ξανδικοῦ ε.

Rs. 2. H. [Κρότος] περὶ παιδίσκης, ἧς ἠνε- Ζήνωνι.
[χύρασ]εν τῶν ἐπιπλευσάντων
[ἐπὶ το]ῦ ἐλαίου, καὶ Θήρωνος τοῦ
10 [ἐκ τῆ]ς κυβαίας. (Ἔτους) κθ, Δαισίου
[ἐν] Ἀλεξανδρ(είαι).

(6719). Zenon 13: Ebd. S. 231. **Brief.** 257/6 v. Chr. Vgl. *Wilcken,* Archiv 6 S. 450. Vgl. *Deißmann,* Licht v. O.[4] 128; 407 (Abb.).

Τουβίας Ἀπολλωνίωι χαίρειν. Καθάπερ μοι ἔγραψας ἀποστεῖλα[ι |[2]] μηνί, ἀπέσταλκα τοῦ Ξανδικ[οῦ] |[3] τῆι δεκάτ[ηι ἄγοντα τὸν δεῖνα] (τὸν παρ' ἡμῶν) ἵππους δύο, κύνας [ἕ]ξ, ἡμιονά[γριον] |[4] ἐξ ὄνου ἕν, ὑποζύγια [Ἀ]ραβικὰ λευκὰ δύο, πώ[λους] ἐξ ἡμιοναγ[ρίου δύο], |[5] πῶλον ἐξ ὀναγρίου ἕνα· ταῦτα δ' ἐστὶν τιθασά. ἀπέσταλκα δέ [σοι] |[6] καὶ τὴν ἐπι[σ]τολὴν τὴν γραφεῖσαν παρ' ἡμῶν ὑπὲρ τῶν ξενί[ων] |[7] τῶι βασιλεῖ, ὁμοίως δὲ καὶ τἀντίγραφα αὐτῆς, ὅπως εἰδῆις.

|[8] Ἔρρωσο. (Ἔτους) κθ, Ξανδικοῦ ι. |[9] Βασιλεῖ Πτολεμαίωι χαίρειν Τουβίας. Ἀπέσταλκά σοι ἵππο[υς δύο], |[10] κύνας ἕξ, ἡμιονάγριον ἐξ ὄνου ἓν ὑποζύγια

[Ἀρ]ạβικὰ λευκὰ [δύο], |[11] πώλους ἐξ ἡμιοναγρίου δύο, πῶλον ἐξ ὀναγρίου ἕνα.
|[12] Εὐτύχει.

Rs. 2. H. Τουβίας τῶν ἀπεσταλμένων Ἀπολλωνίωι.
τῶι βασιλεῖ καὶ τῆς πρὸς τὸν
15 βασιλέα ἐπιστολῆς τὸ ἀντίγραφον.
(Ἔτους) κθ, Ἀρτεμισίου ις, ἐν Ἀλεξαν(δρείαι).

(6720). Zenon 14: Ebd. S. 233. **Brief.** 257/6 v. Chr. Zu den geographischen Problemen s. *Vincent,* Rev. biblique 29 (1920), 178.

Ἡράκλειτος Ζήνωνι χαίρειν. [εἰ αὐτός τε ἔρρ]ωσαι καὶ τὰ λοιπά σοί ἐστιν |[2] κατὰ λόγον, εἴη ἂν ὡς ἡμεῖς θέλομ[εν, ὑγιαίνομεν δὲ] καὶ αὐτοί, καί σοῦ διατελοῦμεν |[3] ἐμ παντὶ καιρῶι μνείαν ποιούμ[ενοι. Περὶ τοῦ ἱππ]ạρịου ἠξιοῦμεν Νικάνορα, ὅπως |[4] ἀλλάξηι ἡμῖν. ἐπεὶ οὖν οὐκ ἐπεχώρει, [ἠναγκάσθημ]ẹṿ ἀγοράσαντες (δραχμῶν) ω ἵππον ἐπικαῦσαι. |[5] ὁ δὲ παρὰ σοῦ ἵππος κατέφθαρται καὶ . η[. . . . . παρεγέν]ετο δὲ καὶ Ἀπολλοφάνης εἰς Συρίαν, |[6] καὶ ἀποδημοῦντες ἡμεῖς εἰς Μασσύαν [συνηντῶμεν] αὐτῶι ἐν Σιδῶνι καὶ ἀνηγγέλḷọṃẹṿ, |[7] ὅτι Κρότος ἐν Ἰόπηι ἐστὶν βουλόμενος σ .[. . . . . .] ἐξαποστεῖλαι καὶ στρώματα. |[8] οὐκ ἔφη οὖν δύνασθαι οὐκέτι παραπλ[εῦσαι . . . . .]θ̣ạι̣ γὰρ ὑπὸ Διονυσοδώρου |[9] τὴν ἀποσκευὴν αὐτῶι ἀπαγαγεῖν ε[ἰς Ἡ]ρạ́κλειαν. ἀνήγγελλεν δὲ ἡμῖν |[10] καὶ περὶ τῶν ἐν οἴḳωι, ὅτι ἔρρωνṭạι̣ [πάντες]. ḳạị Μενεκλῆς δὲ ὁ ἐν Τύρωι |[11] ἔφη σωμάτιά τινα καὶ φορτία ἀγαγὼ̣[ν] αὐτὸς ἐκ Γάζης εἰς Τύρον |[12] μετεξελέσθαι εἰς Τύρον οὐ προσαγγεί[λαν]τα τοῖς τελώναις οὐδὲ ἔχοντα |[13] ἐξαγωγὴν τῶν σωμάτων, τοὺς δὲ αἰσθομένους στερῆσαι αὐτόν. παραγενόμενος |[14] οὖν ὁ Ἀπολλοφάνης πρὸς τὸν Μενεκλῆν ἔφη ṭ[ά] τε σώματα καὶ τὰ φορτία σὰ εἶναι. |[15] Διὸ καὶ ἀντέλαβε ταὐτοῦ ὁ Μενεκλῆς. γέγραφα οὖν σοι, ὅπως ἐντείληι τῶι Ἀπολλοφάνει, |[16] μηθὲν εἰς τὸ σὸν ὄνομα ἀπογράφεσθαι, ἀ[λ]ḷ' εἴ τι δοκεῖ χρήσιμον εἶναι. γίνωσκε δὲ |[17] καὶ ἡμᾶς πολλὰ κακοπαθήσαντας καὶ μό[γ]ιṣ καταχωρισθέντας ἐν τῶι Δαισίωι μηνὶ |[18] τοῦ κθ (ἔτους). Νικάνωρ μὲν γὰρ κέχρηται ἡμῖν, ὡς ἂν εἴ τις ἐχθρῶι χρήσαιτο. |[19] καλῶς δ' ἂν ποιοῖς καὶ σὺ ἐπι[μ]ελόμεν[ος] ṣạ[υτο]ῦ, ὅπως ὑγιαίνῃς.

|[20] Ἔρρωσο.

Rs. 2. H. |[21] Ἡρακλείτου. Ζήνωνι.

3. 4. Ergänzungen unsicher. 5. ṭή̣[κεται?]. 8. [τετάχ]θ̣ạι̣?

(6721). Zenon 15: Ebd. S. 235. **Brief.** 257/6 v. Chr.

- - - - - - - - - - λοπάδια β, καὶ ἄλλα πετραίων |[2] λοπάδια δύο, ἐν ἀμφοτέροις |[3] σκαρία, τριγλία πεικρὰ ε, |[4] καὶ γλαυκίσκου λοπάδια β, |[5] ἐν οἷς τεμάχη ε, |[6] ὀστρακείων μῦ[ε]ṣ λ, |[7] χῆμαι τραχεῖαι ., λεῖαι κ, |[8] ὄστρεα λη. [ ]τιμη [εἰ] δὲ πλα̣ . . . . κ .[μὴ |[10] ὁ σιτοποιὸς ἐπεκώλυ[σ]εν, ἦ ῥα ἄν σοι |[11] ἀπεστάλη· ἔφθανε γάρ.

|[12] Ἔρρωσο.

Rs. 2. H. Φιλοκράτης περὶ ὄψου, Ζήνωνι.

οὗ ἀπέσταλκεν. (Ἔτους) κθ,

15 Δαισίου κα, ἐν Ἀρσινόηι.

3. Πεικρά: vielleicht μεικρά. 7. Der P. scheint χῆλαι zu haben.

(6722). Zenon 16: Ebd. S. 237f. **Erinnerungszettel.** Vgl. *Wilcken,* Archiv 6 S. 451.

Ὑπόμνημα Ἀράτωι παρὰ Ἀριστέως. μνησθῆναι Ζήνωνι |[2] τῶι οἰκονόμωι καὶ Κρίτωνι στολάρχηι περὶ τῶν ψιλοταπίδων |[3] τῶν παρατόμων καὶ τοῦ καυνάκου καὶ χλαμύδος, χιτῶνος, |[4] ἐνκοιμήτρου Τανιτικοῦ, ὅπως ἂν ἀγοράσαντες κατάγητε |[5] μεθ' αὐτῶν, καθότι καὶ παροῦσιν ὑμῖν ἐνετελλόμην.

1. Interpunktion nach *Wilcken* a. a. O.

(6723). Zenon 17: Ebd. S. 238. **Brieflicher Auftrag.**

Κρίτων Ζήνωνι χαίρειν. Τῶν ναυτῶν εἷς ἀποστατ[εῖ. εἰ] οὖν ὑπολέλειπται διὰ ἐνέχυρά |[2] τ[ιν]α, δοὺς αὐτῶι, ἵνα κομίσηται τὸ ἐνέχυρον, (δραχμὰς) δ ἀπόστειλον τὴν ταχίστην. |[3] Ἔρρωσο.

Rs. 2. H. (Ἔτους) ., Γορπιείου κ. Ζήνωνι.

5 Κρίτων, (δραχμαί) δ.

(6724). Zenon 18: Ebd. S. 239. **Brief.** 257/6 v. Chr.

Ζωίλος Ζήνων[ι χαίρειν. εἰ διατελεῖτ]ε ἐρ[ρ]ω[μένο]ι καὶ σὺ καὶ οὓς βούλει, |[2] γίνεται, ὡς ἡμε[ῖς ἂν βουλοίμεθα· ἱκανῶς δὲ κ]αὶ αὐτοὶ εἴχομεν. Καὶ καλῶς ἂν |[3] ποιήσαις γράψας πρ[ὸς ἡμᾶς περὶ Ἀπολλων]ίου, εἰ παρ' ἡμῖν ἄγει τὴν ἑορτήν, |[4] ὅπως τὰ πρὸς τὴν [παρουσίαν αὐτοῦ?] παρασκευασώμεθα καὶ μὴ ἐξαίφνης |[5] ἀπαράσκευοι καταληφθῶ[μ]εν. Ἔρρωσο. (Ἔτους) κθ, Μεσορὴ β.

Rs. 2. H. |[6] (Ἔτους) κθ, Γορ(πιαίου) ις. Ζωίλου, Ζ[ήνωνι].

εἰ Ἀπ(ολλώνιος) παρ' αὐτῶι ἄξει

τὰ Ἀρ(σινόεια).

(6725). Zenon 19: Ebd. S. 240. **Brief.** 257/6 v. Chr.

Ἀπολλώνιος Πανακέστορι χαίρειν. Τὸ [π]λοῖον ἔτι πρότερον |[2] ἀπεστάλκειμεν ἄν σοι, ἀλλ' ὁρῶμεν μέ[γα ἀνή]λωμα ἐσόμενον |[3] εἰς τοὺς ναύτας. εἰ μὲν οὖν δύνασαι τῶν ἐγ Κερκῆι τισὶν δοῦναι, |[4] οἵτινες ἐργῶνται καὶ δια[θ]ρέψουσι τοὺς ν[αύ]τ[α]ς, ὅταν δέ σοι |[5] χρεία ἦι τοῦ πλοίου, ἀποχρήσουσι, γράψον ἡμῖν· ἀποστελοῦμεν γάρ σοι. |[6] εἰ δὲ μή, οὐχ ὁρῶ, πῶς δυνάμεθα καθημένοις τοῖς ναύτοις τὸν |[7] πλεῖστον χρόνον τοὺς μισθοὺς διὰ παντὸς διδόναι. |[8] Ἔρρωσο. (Ἔτους) κθ, Ὑπερβερεταίου κγ, Θωὺθ κδ.

Rs. 2. H. (Ἔτους) κθ, Φαῶφι β. Πανακέστορι.

10 Ἀπολλώνιος

φυτείας.

6. L. ναύταις.

(6726). Zenon 20: Ebd. S. 242. **Brief.** 257/6 v. Chr.

Ζωίλος Πανακέστορι χαί[ρ]ειν. Τῶν κατὰ Τάνιν χωμάτ[ων] |[2] πεπόνηκέν τι. Ἀπόστειλ[ο]ν οὖν Κομοάπιν, ἵνα παραβο[ηθῆι]. |[3] Ἔρρωσο. (Ἔτους) κθ, Θωὺθ κδ.

Rs. 2. H. |[4] [(Ἔτους) κθ, Θω]ὺθ κε. Πανακέστορι.

|[5] [Ζωί]λος χώματος τοῦ
|[6] [κα]τὰ Τάνιν.

1. Tanis bei Philadelpheia im Faijûm.

(6727). Zenon 21: Ebd. S. 243. **Brief.** 257/6 v. Chr. In der Schrift von Nr. 19.

Ἀπολλώνιος Ζήνων[ι χαίρ]ειν. Ὀρθ[ῶς] ἐποίησας |[2] συντάξας εἰς τὸν παράδεισον τὸ[ν ἡμέ]τερον τῆς |[3] καλλιελαίου ἐλαίας καὶ τῆς δαφνίδος τὰ μοσχεύματα |[4] ἐμβαλεῖν. |[5] Ἔρρωσο. (Ἔτους) κθ, Αὐδναίου κδ, Χοίαχ κδ.

Rs. |[6] (Ἔτους) κθ, Περιτίου ια, Τῦβι ια. Ζήνωνι. Ἐλαίας.
Ἀπολλώνιος ἐλαίας
καλλιελαίου.

(6728). Zenon 22: Annales 19 (1919) S. 14. **Brief.** 257/6 v. Chr. Abbildung bei *Rostovtzeff,* A large estate etc. bei S. 39.

Ζήνων Πανακέστορι χαίρειν. |[2] Ἀπεστάλκαμέν σοι τό τε |[3] πορεῖον καὶ ἀργυρίου |[4] δραχμὰς ἑκατόν, |[5] [[συν]] ἀριθμήσ(ν)ατες |[6] Εὐτυχίδηι· πλεῖομ μὲγ γὰρ |[7] οὐκ ἠδυνήθημεν λαβεῖν. |[8] σύνταξον δὲ καὶ τῆς |[9] [[ἁπαλωτά]] (χλωροτά)της κριθῆς καὶ |[10] ἁδροτάτης ἀγώγια |[11] δύο ἀποστεῖλαι [[καὶ ὅπως]] |[12] εἰς Κροκοδίλων πόλιν, |[13] ἵνα χῖδρα γένηται. |[14] [[καὶ αὐθη]] [[καὶ ὅπ]] ὡς δ' ἂν |[15] ἀπο[[κόψωσιν]]τρίψωσιν |[16] αὐτάς, εὐθέως ἀγέτωσαν, |[17] ὅπως μὴ συγκαυθεῖσα |[18] ἔγλευκος γένηται |[19] καὶ ἀχρεῖος. Καὶ τῆς κράμβης δὲ |[20] ἀπόστελλε ἡμῖν. |[21] Ἔρρωσο. (Ἔτους) κθ, Τῦβι κη. |[22] Rs. Πανακέστορι.

3. Vgl. P. Tebt. 5, 196 Anm. 14. Anfang von αὐθημερόν.

(6729). Zenon 23: Ebd. S. 15. **Vorausbezahlung von Arbeiten.** 257/6 v. Chr.

[Βα]σιλεύοντος Πτολεμαίου τοῦ Π[το]|[2][λ]εμαίου Σωτῆρος, (ἔτους) κθ, Δύστρου ιη, |[3] [Αἰ]γυπτίων δὲ Φαμενὼθ ιη. Ἔχει |[4] [Ὧ]ρος Ἁρυώτου παρὰ Ζήνωνος |[5] τοῦ παρ' Ἀπολλωνίου ἐμ Φιλα|[6][δ]ελφείαι τῆι ἐν τῶι Ἀρσινοίτηι νομῶι |[7] [εἶ]ς ἀώιλια ν, ἃ δεῖ [[απ . . ων]] (αὐτὸν) ἀπερ|[8][γά]σασθαι, (δραχμὰς) δ.
|[9] [Βα]σιλεύοντος Πτολεμαίου τοῦ Πτολεμαίου |[10] [Σωτ]ῆρος, (ἔτους) κθ, Δύστρου ιη, Αἰγυπτίων δὲ |[11] [Φαμ]ενὼθ ιη. Ἔχει Ὧρος Ἁρυώτου δι' ἐν- (Πάσιτος Ἡλιοπολίτου) |[12] [γύο]υ [παρὰ] Ζήνωνος τοῦ παρ' Ἀπολλωνίου |[13] [ἐμ Φιλ]αδελφείαι τῆι ἐν τῶι Ἀρσινοίτηι |[14] [νομ]ῶι εἰς ἀώιλια ν, ἃ δεῖ αὐτὸν |[15] [ἀ]περγάσασθαι, (δραχμὰς) δ.

(6730). Zenon 24: Ebd. S. 17. **Brief.** 256/5 v. Chr. *Wilcken,* Alexander d. Große u. d. hellenist. Wirtschaft [Schmollers Jahrbuch 45, 2 (1921)] S. 107f.

Ἀπολλώνιος Ζήνωνι χαίρειν. Ὀρθῶς ἐποιήσατε |[2] δόντες τὰ Μιλήσια ἔρια ταῖς ἐμ Μέμφει παιδίσκα[ι]ς. |[3] καὶ νῦν δὲ σύνταξον, ὅσων ἂν χρείαν ἔχωσι, |[4] διδόναι. |[5] Ἔρρωσο. (Ἔτους) λ, Ἀρτεμισίου ι, Παχὼνς θ.

Rs. (Ἔτους) λ, Ἀρτεμισίου κθ, Παχὼνς κθ. Ζήνωνι. Ἐρίων
Ἀπολλώνιος ἐρίων Μι(λησίων), ὅτι [Μι]λησίων.
ἔχουσιν αἱ παιδίσκαι, καὶ ἵνα
ἄλλα αὐταῖς δοθῆι.

(6731). Zenon 25: Ebd. S. 18. **Eingabe.** 256/5 v. Chr.

Ζήνωνι χαίρειν |[2] Σφραγίς. Ἔδωκά σοι καὶ |[3] τ[ὸ] πρότερον ἔντευ|[4]ξιν περ[ὶ] περι ὧν [[κατ]]εκό|[5]πην π[ορευμένη εἰς |[6] Σῶφθιν τὴν ἐν τῶι Μεμφί|[7]τηι ἐπ' [ἔ]ρια. ἔστιν δὲ |[8] τὸ καθ' ἕν, ὧν ἀπώλεσα, |[9]ἱμάτια β̅ (δραχμῶν) ιβ, καὶ |[10] ἔρια (δραχμῶν) β, καὶ χαλ(κοῦ) (δραχμαὶ) β, |[11] / (δραχμαὶ) ις. δέομαι οὖν σου, |[12] εἴ καί σοι δοκεῖ, ἐλεῆσαί |[13] με γράψας Λεοντίσκωι |[14] τῶι ἀρχιφυλακίτηι |[15] ἐπισκεψάμενον τὴν |[16] λείαν ἀποδοῦναι. ἀνηγ|[17]γέλκασι δὲ καὶ ἐμοί, ὅτι |[18] εὑρήκασι. |[19] Εὐτύχει.

Rs. |[20] (Ἔτους) λ, Δαισίου ια, Παῦνι α.
Σφραγίς, ἐπ(ιστεῖλαι) πρὸς Λεοντίσκον.

10. *Edgar* χαλ(κοῖ) oder χαλ(κοῦ). 20. Das Doppeldatum ist falsch. 21. ἐπ(ιστεῖλαι) *Grenfell*, vgl. Annales 19 (1919) S. 82; auch ἐπ(ιστολῆς) wird von ihm als möglich angesehen.

(6732). Zenon 26: Ebd. S. 19. **Brief.** 256/5 v. Chr.

Θεόδωρος Ζήνωνι χαίρειν. Ἐν τῶι |[2] κη (ἔτει) κατήχθησαν ἡμῖν εἰς Ἀλεξάνδρειαν, |[3] ἃς ἐμετρήσαμεν, ἐκ τῆς χώρας |[4] πυρῶν ἀρτάβαι ἐνενήκοντα. |[5] τούτων μεμετρήμεθα σοῦ συντάξαντος |[6] παρ' Ἀρτεμιδώρου τοῦ ἐν Ἀλεξανδρείαι |[7] Ξανδικοῦ ια (ἀρτάβην) α, εἰκάδι (ἀρτάβας) δ, |[8] τριακάδι (ἀρτάβας) ι, Ἀρτεμισίου ἕκτηι ἐπ' εἰκάδι (ἀρτάβας) ι, |[9] Λωίου πέμπτηι (ἀρτάβας) λ, / πυρ(ῶν) (ἀρτάβαι) νε, καὶ |[10] προσοφείλονται ἡμῖν παρὰ σοὶ πυρῶν (ἀρτάβαι) λε. |[11] καλῶς ἂν οὖν ποιήσαις γράψας, παρ' οὗ |[12] κομιούμεθα ἐν Ἀλεξανδρείαι. προκεχρη|[13]μένοι γὰρ σῖτον παρ' Ἀρτεμιδώρου τοῦ |[14] γραμματέως σπουδάζομεν ἀποδοῦναι. |[15] καὶ νῦν δ' ἐπιδημήσαντες ἐν Ἀλε|[16]ξανδρείαι τὸν ἐπὶ τῆς οἰκίας Ἀρτεμίδωρον |[17]ἀπῃτοῦμεν λέγοντές σε προσοφείλειν· |[18] ὁ δ' οὐκ ἔφη πρὸς αὐτὸν εἶναι περὶ τούτων |[19] οὐδὲ προσέξειν, ἐὰν γράφηις. ὥστε φρόντισον |[20] περὶ τῆς κομιδῆς, ἵνα μή σοι τὴν τιμὴν |[21] κατὰ τὸ δίκαιον ἀνατιθῶμεν, εἰ μὴ |[22] τὸ ἔσχατον νὴ Δία εὐκρινεῖς τοὺς μὲν λοιποὺς καὶ τοὺς |[23] περὶ Σιμύλον ἀπειληφέναι, τὸ δ' ἡμῖν γινόμενον |[24] ἐλλιπεῖν παρὰ σοῦ. φησὶ δὲ καὶ Ἀρτεμίδωρος |[25] ὁ γραμματεὺς σοῦ γράψαντος, ὅπως μετρήσηται |[26] μηθένα προσεσχηκέναι. |[27] Ἔρρωσο.

Rs. |[28] (Ἔτους) λ, [Λωί]ου β, Μεσορὴ β. Ζήνωνι.
[Θεό]δωρος σιταρίου.

(6733). Zenon 27: Ebd. S. 21. **Brief.** 256/5 v. Chr. Lichtbild bei *Rostovtzeff,* A large estate in Egypt etc. neben S. 49.

Ἀπολλώνιος Ζήνωνι χαίρειν. Ὁ βασιλεὺς συνέτασσεν ἡμῖν |[2] διςπορῆσαι τὴν γῆν. ὡς ἂν οὖν ἐχθερίσηις τὸν πρώιον σῖτον, |[3] εὐθέως πότισον τὴν γῆν ἀπὸ χερός· ἐὰν δὲ μὴ δυνατὸν ἦι, |[4] κηλώνεια ἐπιστήσας πλείονα οὕτω πότιζε

μὴ πλείους δὲ |[5] πέντε ἡμερῶν σύσχης τὸ ὕδωρ, καὶ καταψύξας εὐθέως |[6] κατάσπειρε τὸν τρίμηνον πυρόν. γράψον δὲ καὶ πρὸς ἡμᾶς, |[7] πότε δύνασαι θερίζειν τὸν σῖτον. |[8] Ἔρρωσο. (Ἔτους) λ, Δίου ιγ, Ἁθὺρ γ.

Rs.: |[9] Ζήνωνι. [ ] σπόρου.

3f. Vgl. Herodot I 193. 9. Erg. [Ἀπολλώνιος περὶ δι]σπόρου, B.

(6734). Zenon 28: Ebd. S. 22. **Brief.** 256/5 v. Chr.

Νίκων Ζήνωνι χαίρειν. εἰ ἔρρωσαι καὶ τὰ λοιπὰ κατὰ νοῦν πράσσεις, εἴ⟨η⟩ ἂν πολλὴ χάρις τοῖς θεοῖς, |[2] καὶ ἐ⟨⟨ω⟩⟩γὼ δὲ ὑγίαινον. Καλῶς ἂν ποιήσαις γράψας Νικάνορι περὶ τοῦ ἐλαίου, οὗ δεδώκαμεν εἰς τὰ |[3] σώματα, ὅπως ἂν ἡμῖν ἀποδῶι· εἰσὶν δὲ χοιεῖς (l. χοεῖς) πέντε. καὶ περὶ ὧν σοι πρότερον ἔγραψα, καλῶς ἂν ποιή|[4]σαις, ἐάν σοι φαίνηται, ἀποστείλας ἡμῖν· οὐ γὰρ οἶμαί σε ἀγνοιεῖν, ὅτι, ἐὰν μή τι παρὰ σοῦ λάβωμεν, |[5] λιμῶι παραπολοῦμαι, ἕως ἂν εἰδῶ, ποῦ γῆς εἰμί, ἐπειδὴ δι' Ἀπολλώνιον οὐ δυνάμεθ' ἀνα|[6]κῦψαι, ἀλλὰ συμβαίνει διὰ παντὸς ἡμᾶς περιφόβους εἶναι ὥσπερ τοὺς τὰ μέγιστα ἠδικηκότας. |[7] ἠξίου δὲ καὶ Μενέμαχος ἡμᾶς πρὸς Ἀπολλώνιον καταπλεῦσαι δοκιμάζων ὀφθῆναι αὐτῶι, |[8] καὶ ὅτι διαλέξεται περὶ ἡμῶν, ὅπως ἂν πράσσωμέν τι, καὶ ὅτι μάλιστα ἡμῖν ποιήσει, ἔφη, |[9] ἐὰν αὐτῶι μνησθῶμεν περὶ τοῦ ἐμ Φιλαδε^λφείαι ἔργου. εἰ οὖν δοκιμάζεις καταπλεῦσαί με, |[10] ὅπως ἂν ἐντύχωμεν, γράψον μοι. καὶ ἐάν σοι φαίνηται δοῦναι ἡμῖν σιτάριον, ὅπως μὴ τίμιον |[11] ἀγοράζωμεν, σύνταξον δοθῆναι Ἀγαθίνωι, ὅπως ἀποκομίσηι πρὸς ἡμᾶς. |[12] Ἔρρωσο. Rs.: |[13] (Ἔτους) λ, Δίου ιη, Ἁθὺρ ιη. Ζήνωνι. |[14] Νίκων περὶ ἐλαίου.

(6735). Zenon 29: Ebd. S. 23. **Brief.** 256/5 v. Chr.

[Ἀ]πολλώνιος Ζήνω[νι χαίρειν]. Ἀπεστάλκα[μέν σοι ἐκ τοῦ] |[2] [Ἡ]λιοπολίτου νομοῦ εἰς πρᾶσιν οἴνου κερ(άμια) ρ. φρ[όντισον οὖν], |[3] [ὅπω]ς πραθῆι τοῦ καλῶς ἔχοντος. τὴν δ[ὲ τιμὴν ....] |[4] [εἰς] τοὺς ἀμφιτάπους. [γρά]ψον δ' ἡμῖν, πῶ[ς] τ[.......] |[5] [α]ὐτὸν ἀποδόσθαι, καὶ [.......] σοι προσαποστε[....

...] |[6] [ὑπ]άρχει γὰρ ἡμῖν καὶ πλείω οἶνος ἐν τῶι Ἡλιοπολ[ίτηι]. |[7] Ἔρρωσο. (Ἔτους) λ, Δύστρου [ ]. Rs.: |[8] Ζήνωνι.

3. τοῦ καλῶς ἔχοντος „zu einem günstigen Preis", E. (? B.); vgl. Zen. 8, 9. — τὴν δ[ὲ τιμὴν αὐτοῦ δὸς] o. ä. *Edgar*. 5. [ἄλλα κερ(άμιά)] σοι προσαποστε[λοῦμεν]·, B.

(6736). Zenon 30: Ebd. S. 24. **Memorandum.** 256/5 v. Chr.

Ὑπόμνημα Ζήνωνι παρὰ Κομοάπιος |[2] τῆς διαπράσεως ἀπὸ τῆς ὁδοῦ τῆς μέσης |[3] τὰ ἄνω πρὸς νότον, ὃ ἐργολάβησεν ^πρότερον^ Πετε|[4]χών, τὰ ἐννέα σχοινία. πρῶτον σχοινίον |[5] Πᾶις Πανήιος Τρωίτης, οὗ ἔγγυος Πᾶσις Παραῦτος |[6] ὁ ἐπὶ τῆς λιθηγοῦ, ⊦ζ. δεύτερον Ἁρεντώτης Ἁρι|[7]οίριος, οὗ ἔγγυος Ἑριεύς, ⊦ϛ. γ̄ Ἁρενδώτης Πάσιτος |[8] Τρωίτης, ἔγγυος Ἀθεμεύς, ⊦εϛ. δ̄ Πακοῖμις Σινο|[9]μούνιος αὐτεγγύωι, ⊦γ. ε̄ Πετεαρμῶτις Ψιν|[10]ταῆτος, ἔγγυος Ἀμῶς λααξός, ⊦ζ. ϛ̄ Πᾶις Πα|[11]νήιος Τρωίτης, ἔγγυος Πᾶσις, ⊦γ. ζ̄ Στοτοῆτις |[12] Ὀσεύριος αὐτεγγύωι, ⊦βϛ=. η̄ Πᾶις Πανήιος |[13] Τρωίτης, ἔγγυος Πᾶσι⟨ς⟩, ⊦βϛ. θ̄ Πετοβάστις Θοτο|[14]εύτμιος Ἀφροδιτοπολίτης, ἔγγυος Μειεῦς ἰσιονόμος, |[15] ⊦βϛ=. / (δραχμαὶ)

λϑς—. |[16] ἄλλα πρὸς νότον ἐπάνω τοῦ ἐγρήγματος, |[17] ἅ εἰσιν σχοινία ιδ, ἕως τῆς πέτρας. |[18] ā Πᾶις Πανήιος αὐτεγγύωι, ⊢ζς—. β̄ Πετοσῖ|[19]ρις Ἐτπεμούνιος, ἔγγυος Πᾶις φυλακίτης, ⊢ες. |[20] γ̄ Πᾶσις Πολήμιος, Πᾶσις Παραῦτος, ⊢ε—. δ̄ Πᾶις Πανή|[21]ιος αὐτεγγύωι, ⊢ε. ε̄ Πετεαρμῶτις Ψινταῆτος, |[22] ἔγγυος Ἀμῶς λααξός, ⊢ε. ς̄ Πᾶσις Πάιτος, ἔγγυ|[23]ος Πᾶτις φυλακίτης, ⊢ε. ζ̄ Ὧρος Παμίνιος οἰκο|[24]δόμος, ἔγγυος Στύραξ, ⊢δ. η̄ Ἀγάϑων Ἀμμωνίου, |[25] ἔγγυος Ἀπολλόδωρος ἐρημοφύλαξ, ⊢δ. ϑ̄ |[26] Ὧρος Παμήνιος, ἔγγυος Στύραξ, ⊢δ. ῑ Πακοῖμις |[27] Σινομούνιος αὐτέγγυος, ⊢ε=. ια̅ ὁ αὐτός, ⊢δ. |[28] ιβ̅ Ἀγάϑων Ἀμμωνίου, ἔγγυος Ἀπολλόδωρος, ⊢γς. |[29] ιγ̅ καὶ ιδ̅ Πετεαρμῶτις Ψινταῆτος, ἔγγυ|[30]ος Ἀμῶς λααξός, ⊢ιβ ⟦/ ⟧ / (δραχμαὶ) ο—. 1 Zeile frei. |[31] εἰς δὲ τὸ αὐτὸ σχοινία κγ. / ⊢ρϑς=. |[32] ταῦτα δὲ ἐξεδώκαμεν ἀπὸ τῆς μεγά|[33]λης διώρυρος ἕως τῆς μικρᾶς διώρυγος, |[34] ἕως ἂν καὺ (l. καὶ) αὐτὸς ἐπισκέψηι. Rs.: |[35] (Ἔτους) λ. |[36] Παρὰ Κομοάπιος |[37] καὶ Πετεχῶντος.

1. Zur Interpunktion *Wilcken*, Archiv 6 S. 451. 9 u. ö. l. αὐτέγγυος. 14. Hg. Ἰσιονόμος. 20. αὐτέγγυοι fehlt vor ⊢ε. 33. Lies διώρυγος.

(6737). Zenon 31: Ebd. S. 26f. **Brief.** 255/4 v. Chr.

[. . . .]. ος Ζήνω̣ν̣[ι] χαίρειν. Ἐπεῖδον τὴν δια|[2][γρα]φὴν τ[. . . . . ἐφ]αίνετό μοι ἱκ[α]νῶς ἔχειν |[3] [. . . .]ε̣σ̣τ̣η̣[. . . . . . ἀρχι]τέκτων ἀξιωϑεὶς ὑφ᾽ ἡμῶν |[4] [τῆι οἰ]κήσει ἄλλ[ο]υ̣[ς] πήχεις κ̄. |[5] ἔστι γὰρ ἡ αὐλὴ [ἐλ]ά̣ττω, καὶ ἱππῶνα ο̣ὐ̣κ̣ ἔχει ὁ τόπος. |[6] καλῶ̣ς οὖν πο̣[ι]ήσε̣ι̣ς̣ σ̣υ̣ν-τάξας προσλαβε[ῖ]ν τὸ πλῆϑος |[7] τοῦτο καὶ ἐνεργεῖν ἤδη· τὰ δὲ ξύλα οὐκ ἐπι-κ[ω]λύσει. συνετάγη δὲ |[8] τῶι ἀρχιτέ̣κτ[ο]ν̣ι̣ καὶ περικήπωι τόπον καταλιπεῖν, |[9] [κ]α̣ὶ̣ τὸν πυλῶνα κ̣α̣ὶ̣ τὸ σιτοποιε(ι)ον μεταϑεῖναι. |[10] Ἔρρωσο. (Ἔτους) λα, Φαῶφι κζ̅. Verso: |[11]]ήσεως. Ζήνωι̣. οἰκήσεως.

1. Der Schreiber war vielleicht der Hypodioiketes Diotimos. 2. τ[ῶν ἔργων, ἣ] *Edgar.* 6. Möglich ist auch ποήσεις.

(6738). Zenon 32: Ebd. S. 28f. **Brief.** 255/4 v. Chr. Vgl. *Wilcken,* Archiv 6 S. 451.

